ιε'. ὅτι οὐδὲν τῶν πραγμάτων ἄχρηστον.

μετὰ ταῦτα καιρόν· οὐδὲ ἓν γὰρ πρᾶγμα ὑπάρχει, ὅπερ οὐχ εὑρίσκεται χρήσιμον ἢ

5 ἐξέχῃ V. 6 καταληφθήσεται codd. 9 εὗρε τίς codd. 26 υἱῶν pro νῦν V.

εἰς καιρόν τινα ἢ εἰς ἄνθρωπόν τινα, καὶ τοῦτο ἐστι φανερὸν ἀπὸ τούτου, ὅπερ ἐζήτησε νῦν ἡ αὐθεντία σου ἀκοῦσαι περὶ τῆς Σαμοθρᾴκης· ποῦ γὰρ ἤλπιζεν ὁ Ἁλικαρνασεὺς Διονύσιος, ὅτι ἀφ' οὗ γράψει τὸ βιβλίον τοῦτο ὅπερ ἔγραψεν, μέλλει ζητεῖν ἡ αὐθεντία σου μετὰ χιλίους πεντακοσίους χρόνους μαθεῖν τί διηγεῖται εἰς τοῦτο περὶ τῆς Σαμοθρᾴκης. ἀλλ' ὅμως ἐγένετο καὶ ὅπερ ἔγραψεν ἐκεῖνος δι' ἄλλην ὑπόθεσιν, μετὰ χιλίους πεντακοσίους χρόνους ἔνι χρήσιμον εἰς τὴν αὐθεντίαν σου, ἵνα μάθῃς τι περὶ τοῦ νησίου τούτου ἱστορικὸν καὶ ἀρχαῖον. τοῦτο δὲ γίνεται διὰ τὴν ἀπόφασιν τῆς ἁγίας γραφῆς, ἥτις λέγει ὅτι εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ καλὰ λίαν. τὰ γὰρ πράγματα πάντα τοῦ κόσμου εἴ τι ἄρα ὑπάρχει, τὰ πάντα ὑπάρχουσι καλά. ἀλλὰ τὰ μὲν πάντοτέ εἰσι χρήσιμα καὶ καλὰ καὶ ἀναγκαῖα, ὥσπερ τὸ φῶς δι' οὗ βλέπομεν καὶ ὁ ἀὴρ ὃν ἀναπνέομεν, ταῦτα γὰρ πάντοτε χρήσιμα καὶ καλά· τὰ δὲ ὑπάρχωσι καλὰ καὶ χρήσιμα ἢ πρὸς καιρὸν ἢ πρὸς χρείαν τινὰ ἢ πρός τινας ὥσπερ οἱ ὄφεις. οὐ γὰρ πάντοτε ὑπάρχωσιν οὗτοι καλοί, ἀλλ' ὅταν σκευάζουσιν αὐτοὺς οἱ ἰατροὶ θηριακὰς ἀντιδότους, ἵνα θεραπεύωσι πάθη καὶ νοσήματα δι' αὐτῶν καὶ ὅταν παρακελεύωνται τοῖς ἀνθρώποις ἐσθίειν καὶ τρώγειν αὐτοὺς εἰς πάθη μεγάλα καὶ νοσήματα δυσθεράπευτα. ἐπεὶ γοῦν τὰ κτίσματα τοῦ θεοῦ καὶ τὰ φαινόμενα ἄχρηστα καὶ κακὰ ὑπάρχωσι χρήσιμα καὶ ἀγαθὰ ἐν καιρῷ καὶ πρὸς χρείας τινάς, καὶ τὰ ἔργα τῶν κτισμάτων τοῦ θεοῦ ἀναγκαίως

ιϛʹ. ὅτι κατὰ τὴν γραφὴν πάντα ὅσα ἐποίησεν ὁ θεός εἰσι καλὰ λίαν, καὶ τὰ δοκοῦντα κακὰ καὶ ἄχρηστα ὡς οἱ ὄφεις.

10. 11 τοῦ νησίου του codd. 13 Cf. Genes. 1, 31. ιϛʹ. τὴν ἁγίαν γραφὴν V.

ὀφείλουσιν εἶναι καλά, εἴτε δυνάμεις καὶ ἐνέργειαί εἰσιν ὡς τῶν βοτανῶν, εἴτε ὑπηρεσίαι καὶ δουλεῖαι ὡς αἱ παρὰ τῶν ἵππων καὶ τῶν καμήλων καὶ τῶν ὁμοίων γινόμεναι ἡμῖν, εἴτε λόγοι καὶ ἔργα καὶ χαρίσματα ὡς τὰ τῶν ἀνθρώπων, πλὴν οὐ πάντοτε καὶ εἰς πάντας, ἀλλ' εἰς καιρὸν καὶ εἴς τινας καὶ εἰς χρείας ὥσπερ προείπομεν. καὶ περὶ μὲν τούτων μέχρι τούτου. ἐπειδὴ δὲ ὥρισεν ἡ αὐθεντία σου διὰ τοῦ ἀδελφοῦ μου πρὸς ἐμέ, ἵνα ποιήσω ἐξήγησιν εἰς τοὺς λόγους ἐκείνους τοῦ Διονυσίου οὓς γράφει περὶ τῆς Σαμοθράκης, ἐποίησα τοῦτο κατὰ τὸν ὁρισμόν σου. καὶ πρῶτον ἔθηκα ἄνωθεν αὐτὴν τὴν φωνὴν τὴν πρωτότυπον τοῦ Διονυσίου, κάτω δὲ τὴν ἐξήγησιν στενὴν καὶ ὀλίγην καὶ σαφεστάτην εἰς ὅσον ἠδυνήθην. λαμβάνω δὲ τὴν φωνὴν τοῦ Διονυσίου καὶ τὸ πρόσωπον αὐτοῦ καὶ λέγω αὐτὰ ἐκεῖνα κάτω, ἅπερ λέγει ἐκεῖνος ἄνω. τοῦτο γοῦν ὅπερ ὥρισεν ἡ αὐθεντία σου ὕστερον ἐγὼ ἐβουλόμην ἵνα ποιήσω ἔκτοτε, ἀφ' οὗ ἔστειλα τὰς περικοπὰς τοῦ Διονυσίου πρὸς τὸν μαγίστερ Ζοάνε. ἀλλ' οὐδὲ ἤλπιζα, ὅτι ἔχει τοῦτο περὶ πολλοῦ ἡ αὐθεντία σου, ἀλλ' ἐνόμισα, ὅτι ἂν εὑρεθῇ τις καὶ εἴπῃ τῇ αὐθεντίᾳ σου ὀλίγον τι ἀπὸ τούτου, μέλλει ἀναπαυθῆναι ἡ αὐθεντία σου εἰς ἐκεῖνο. καὶ διὰ τοῦτο οὐδέν μοι ἐφάνη καλόν, ἵνα δώσω ὥσπερ φορτίον καὶ βάρος τῇ αὐθεντίᾳ σου τὴν πολυλογίαν τῆς ἐξηγήσεως. νῦν δὲ ἐπειδὴ ἔμαθον διὰ τῆς πείρας, ὅτι ἡ αὐθεντία σου ἐπιμελῶς καὶ μετὰ περιχαρείας ἀποδέχεται τὰ τοιαῦτα, οὐ μόνον ἐποίησα ἐκεῖνο ὅπερ μοι ὥρισας, ἀλλὰ καὶ τὰς ἱστορίας, αἵτινες

20 ζοάνε Vat.

ὑπάρχωσιν συντετμημέναι καὶ σύντομοι μέσον τῆς διηγήσεως ἐκείνης καὶ ὀνόματα τόπων καὶ ἄλλα τινὰ ὡραῖα καὶ ἀναγκαῖα, ἅτινα γράφει εἰς τὸ προοίμιον καὶ τὴν ἀρχὴν τοῦ βιβλίου τούτου οὗτος ὁ ἱστορικὸς Διονύσιος, ἐφάνη μοι εὔλογον καὶ ὀφειλόμενον ἵνα γράψω εἰς πλάτος ἐνταῦθα καὶ ἀποστείλω τῇ αὐθεντίᾳ σου κεχωρισμένως, καὶ μάλιστα ὅτι ὑπῆρχεν ἀνάγκη, ἵνα μάθῃ ἡ αὐθεντία σου, τίς ἐστιν ἡ αἰτία καὶ ἡ ἀφορμή, ἵνα μνημονεύσῃ καὶ ἐνθυμηθῇ ὁ ἄνθρωπος οὗτος τῆς Σαμοθρᾴκης οὕτω μικρᾶς νήσου καὶ οὐδὲ σφόδρα μεγάλης οὐδὲ πολυκάρπου οὐδὲ νῦν ἐχούσης ἀγαθὴν οὐδὲ θάλασσαν, ὡς αὐτὸς οὗτος περὶ αὐτῆς ἱστορεῖ. ἵνα γοῦν ἀπ' αὐτοῦ τοῦ συγγραφέως ἀρξώμεθα, — καὶ γὰρ ἀναγκαῖον καὶ εὔλογον, — ἄκουε πρῶτον περὶ τούτου ἡ αὐθεντία σου.

ιζ'. περὶ τῆς πατρίδος τοῦ Διονυσίου καὶ περὶ τῆς Ἰωνίας.

Οὗτος τοίνυν ὁ Διονύσιος ὁ τὴν ἀρχαιολογίαν διηγούμενος τῆς Ῥώμης ὁ καὶ Ἁλικαρνασεὺς λεγόμενος πατρίδα ἔσχε τὴν Ἁλικαρνασόν· διὰ τοῦτο καὶ Ἁλικαρνασεὺς λέγεται. αὕτη γοῦν ἡ Ἁλικαρνασὸς ὑπῆρχε πόλις παρὰ θάλασσαν τῆς Ἰωνίας. λέγεται δὲ Ἰωνία ὁ τόπος ὅλος ἀπὸ τῆς ἐκβολῆς τοῦ Ἕρμου ποταμοῦ ἤγουν ἔνθα ἐκβαίνει εἰς τὴν θάλασσαν, ὅντινα λέγομεν ἡμεῖς ποταμὸν τοῦ Ταρχανειώτου, ἕως ἀκρωτηρίου ἑνὸς ὅπερ βαρβαρικῶς λέγουσι οἱ ναῦται Κριόν, λογικῶς δὲ λέγεται Κνίδος. ἐν ᾧ ἀκρωτηρίῳ ἦν ποτε καὶ πόλις ὀνομαζομένη καὶ αὐτὴ Κνίδος ἀπὸ τοῦ ὀνόματος τοῦ ἀκρωτηρίου, ἥτις φαίνεται νῦν κεχαλασμένη. μέσον γοῦν τοῦ τόπου τούτου τῆς Ἰωνίας ὑπάρχει καὶ ἡ Ἁλικαρνασός, ἔρημος καὶ διεφθαρμένη

4 τούτου deest V. 11 γοῦν pro νῦν V. 13 ἀρχώμεθα V.
20 ὑπῆρχεν V. 21. ἐκβουλῆς codd.

πόλις κατὰ τὸν παρόντα καιρὸν εἰς τὸν τόπον, ὃν λέγουσιν οἱ Τοῦρκοι τοῦ Μανταχία, μακρὰν ἀπὸ τῶν λεγομένων Παλατίων μιᾶς ἡμέρας ὁδοῦ διαστήματι.

ιη'. πότε ἀπῆλθεν ὁ Διονύσιος εἰς τὴν Ῥώμην καὶ τί ἐποίησεν ἐκεῖ διατρίβων.

οὗτος τοίνυν ὁ Διονύσιος ἐν τῷ καιρῷ, καθ' ὃν ὑπῆρχε βασιλεὺς εἰς τὴν Ῥώμην ὁ Καῖσαρ ὁ Σεβαστὸς, οὗτινος εἰς τὴν ἡμέραν ἐγεννήθη ὁ πρῶτος καὶ ἀληθινὸς βασιλεὺς ὁ Χριστός, ἀπῆλθεν ἀπὸ τῆς Ἁλικαρνασοῦ εἰς τὴν Ῥώμην καὶ διέτριψεν ἐκεῖ χρόνους εἴκοσι καὶ δύο. ἐκεῖ γοῦν ἔμαθε τὴν γλῶσσαν τὴν λατινικὴν καὶ λατινικὰ γράμματα καὶ ἀνέγνωσεν ὅλα τὰ ἱστορικὰ βιβλία, ὅσα ἔγραψαν οἱ Ῥωμᾶνοι καὶ οἱ ἄλλοι Λατῖνοι περὶ τῆς κτίσεως τῆς Ῥώμης καὶ περὶ πάντων τῶν πραγμάτων αὐτῆς. ὁμοίως ἀνέγνωσε καὶ τὰ ἑλληνικὰ βιβλία ὅσα ἔγραψαν περὶ τῆς Ῥώμης ἕλληνές τινες ἱστορικοί. εἶδε γοῦν καὶ ἔμαθεν ἀκριβῶς καὶ παρὰ τῶν ῥωμάνων καὶ παρὰ τῶν ἑλλήνων ἱστορικῶν τὰ τῆς Ῥώμης πράγματα ἀπὸ τῆς πρώτης ἀρχῆς αὐτῆς ἕως τῆς ἡμέρας αὐτοῦ καὶ ὑπέλαβεν ἀληθῶς, ὅτι οἱ Ἕλληνες συκοφαντοῦσι καὶ διαβάλλουσι καὶ κατηγοροῦσι καὶ μισοῦσι ἀδίκως καὶ παραλόγως καὶ ἔξω πάσης ἀληθείας καὶ τὴν Ῥώμην καὶ τὴν βασιλείαν αὐτῆς καὶ τοὺς κτίστας

ιθ'. τίνα ἔλεγον οἱ Ἕλληνες περὶ τῆς Ῥώμης καὶ τῶν οἰκιστῶν αὐτῆς καὶ πάντων τῶν Ῥωμάνων.

καὶ οἰκιστὰς αὐτῆς. οἱ γὰρ Ἕλληνες τοῦ καιροῦ ἐκείνου καὶ ἔτι οἱ παλαιότεροι βλέποντες τὴν εὐημερίαν τὴν ὑπερβολικὴν τῆς Ῥώμης καὶ ὅπως μία πόλις, ἥτις ὑπῆρχεν ἐξ ἀρχῆς μικρὰ καὶ ἄδοξος καὶ ἀφανής, ἐβασίλευσεν ὅλης τῆς οἰκουμένης, ἐλυποῦντο εἰς ὑπερ-

3 παραλίων V. ιη'. περὶ τοῦ πότε etc. V. 12 ῥωμαῖοι V. 12. 13 περὶ τῆς κτίσεως καὶ τῶν πραγμάτων αὐτῆς V. 19 ἀλληθῶς V. 22. 23 καὶ τοὺς κτίστας καὶ οἰκιστὰς αὐτῆς desunt V.

βολὴν καὶ ἐβλασφήμουν εἰς τοὺς θεοὺς αὐτῶν, ὥσπερ χαλεπαίνομεν καὶ ἡμεῖς τῷ καιρῷ τούτῳ καὶ ἀγανακτοῦμεν καὶ δυσχεραίνομεν καὶ τρόπον τινὰ βλασφημοῦμεν εἰς τὸν θεόν, ὅπως τὸ μωρὸν τοῦτο καὶ ἀσεβὲς ἔθνος τῶν Τούρκων ἐκυρίευσε τοῦ κόσμου καὶ ἠφάνισεν ἡμᾶς τοὺς Χριστιανούς. ἔλεγον οὖν οἱ Ἕλληνες, ὅτι οἱ θεοὶ αὐτῶν ἀδίκως καὶ παραλόγως ἔλαβον πάντα τὰ ἀγαθὰ καὶ τὴν ἀρχὴν πᾶσαν τοῦ κόσμου, ἥντινα ἔπρεπεν ἵνα δώσωσι πρὸς τοὺς Ἕλληνας, τοὺς εὐσεβεῖς εἰς τοὺς θεούς, τοὺς εὐγενεῖς διὰ τὸ γένος, τοὺς σοφοὺς ἀπὸ τῆς γνώσεως, τοὺς πεπαιδευμένους διὰ τὴν πολιτείαν, τοὺς ἀνδρείους καὶ γενναίους διὰ τὴν γυμνασίαν καὶ τὴν ἐμπειρίαν, καὶ ἔδωκαν αὐτὴν πρὸς ἀνθρώπους μωρούς, ἀσόφους, ἀγροίκους καὶ βαρβάρους, τοὺς Ῥωμάνους, οἵτινες οὔτε γένος εἶχον οὔτε πατρίδα οὔτε παίδευσιν οὔτε ἄλλην τινὰ προκοπὴν ἢ ἀρετὴν ἀνθρωπίνην. ἦσαν δὲ μόνον λησταὶ καὶ κακότροποι ἄνθρωποι καὶ ἐκεῖνοι ἀγνώριστοι καὶ ὀλίγοι καὶ συνήχθησαν ἄλλος ἀπὸ ἀλλαχοῦ μέρους τῆς γῆς καὶ ὁμονόησαν καὶ ἐποίησαν πολλὰ κακὰ εἰς τοὺς τόπους ἐκείνους τῆς Ἰταλίας. καὶ τέλος ἀπὸ τῶν χρημάτων τῆς λῃστείας ἔκτισαν καὶ τὴν Ῥώμην, ἵνα ἔχωσιν αὐτὴν λῃστήριον ἢ ὡς ὅπερ λέγουσιν οἱ κοινοὶ λῃσταρχεῖον. καὶ ὀλίγον κατ' ὀλίγον ἐβασίλευσαν καὶ τῶν κύκλῳ τῆς Ῥώμης ἐθνῶν καὶ τῆς Ἰταλίας πάσης καὶ αὐτῶν τῶν Ἑλλήνων καὶ ὅλης τῆς οἰκουμένης. καὶ οἱ μὲν Ἕλληνες ἔλεγον καὶ ἐφρόνουν ταῦτα. ὁ δὲ Διονύσιος οὗτος οὐχ εὕρισκε τὰ πράγματα οὕτως ὥσπερ ἔλεγον οἱ Ἕλληνες, ἀλλὰ μᾶλ-

κ'. ὅτι ὁ Διονύσιος ἐναντία εὕρισκε τὰ τῶν Ῥωμάνων πράγ-

4 εἰς deest V. 5 τούκων V. 23 ληστίριον ἤως Vat. ἤγουν V. κ'. ρωμαίων V.

ματα παρὸ ἔλεγον οἱ Ἕλληνες.

λον ὅλα τὰ ἐναντία. ἐνόησε γοῦν παραυτίκα, ὅτι ἡ πεπλανημένη ὑποψία αὕτη, ἥντινα ἔχουσιν οἱ Ἕλληνες περὶ τῶν κτητόρων τῆς Ῥώμης, οὐδὲν ἐσυνέβη εἰς τοὺς Ἕλληνας, εἰ μὴ διότι οὐδὲν ἀνέγνωσαν καθολικὴν καὶ ἀληθινὴν ἱστορίαν περὶ τῆς Ῥώμης. τοὺς μὲν γὰρ ῥωμάνους καὶ λατίνους χρονογράφους οὐδὲν ἀνέγνωσαν διὰ τὴν γλῶσσαν, τοὺς δὲ ἕλληνας ἱστορικοὺς τῆς Ῥώμης οὐδὲν ἔστεργον, ὅσοι ἔλεγον τὴν ἀλήθειαν, ὅσοι δὲ ἔλεγον τὰς ὀρέξεις αὐτῶν ἱστορικοί, ἐκείνους ἔστεργον. ἀλλὰ καὶ τῶν ἱστορικῶν πάντων καὶ τῶν ῥωμάνων καὶ τῶν ἑλλήνων, ὅσοι ἔγραψαν τὰ περὶ τῆς Ῥώμης πρὸ τοῦ Διονυσίου τούτου, οἱ μὲν ἔγραψαν ἀληθινὰ καὶ ὀλίγα, οἱ δὲ ἔγραψαν πολλά, ἄτακτα δὲ καὶ διεσκορπισμένα καὶ ἀνεξέταστα ἀπὸ μόνης ἀκοῆς καὶ φωνῆς τῶν τυχόντων ἀνθρώπων.

κα'. διὰ ποίας αἰτίας ἦλθεν ὁ Διονύσιος εἰς τὸ γράψαι τὴν ἱστορίαν τῆς Ῥώμης.

διὰ γοῦν ταύτην τὴν αἰτίαν καὶ ἑτέρας δύο, ἅστινας μέλλωμεν εἰπεῖν παρακατιόντες, ἦλθεν εἰς ἀνάγκην ἵνα ποιήσῃ τὴν ἱστορίαν ταύτην ὁ Διονύσιος εἰς πλάτος καὶ μετὰ τάξεως τῆς πρεπούσης καὶ μετὰ πάσης ἀκριβείας καὶ ἀληθείας καὶ ἐξετάσεως, ἐπὶ σκοπῷ, ἵνα ἐκβάλλει τοὺς Ἕλληνας ἀπὸ τῆς πλάνης, ἥντινα εἶχον περὶ τῶν Ῥωμάνων. ἠγάπα γὰρ αὐτοὺς ὡς γένος αὐτοῦ καὶ ᾐσχύνετο Ἕλλην ὑπάρχων καὶ οὗτος καθαρός, ἵνα οἱ Ἕλληνες τοιοῦτοι ὄντες ἄνθρωποι ἀγνοῶσιν τοιοῦτον πρᾶγμα καθαρὸν καὶ ὁμολογούμενον καὶ δοξάζωσι καὶ νομίζωσι ὅλον τὸ ἐναντίον περὶ τῆς Ῥώμης καὶ τῶν κτητόρων καὶ οἰκιστῶν αὐτῆς. καὶ διὰ

6. 11. 23 ρωμαίων et ρωμαίους V. 17 διό V. μέλλω μεν codd.

τοῦτο γράφει τὴν ἱστορίαν ἑλληνικῇ γλώσσῃ, ἵνα ἴδωσι ταύτην πάντες οἱ Ἕλληνες καὶ μάθωσι τὴν ἀλήθειαν. διὰ γὰρ τούτους κατὰ πρῶτον λόγον γράφει τὴν ἱστορίαν. βούλεται γοῦν ἵνα δείξῃ διὰ τῆς ἱστορίας, ὅτι οἱ κτίσαντες τὴν Ῥώμην οὐχ ὑπῆρχον βάρβαροι καὶ ἄγροικοι ἄνθρωποι, ὥσπερ ἔλεγον, ἀλλὰ ἦσαν Ἕλληνες καὶ γένος ἑλληνικόν. οὐδὲ ἦσαν λησταὶ καὶ κακότροποι ἄνθρωποι, ἀλλὰ εὐσεβεῖς εἰς τοὺς θεοὺς καὶ εἰς πάντας ἀνθρώπους χρήσιμοι καὶ ἔντιμοι ἄνθρωποι. οὐδὲ συνήχθησαν ἄλλος ἀπὸ ἀλλαχοῦ, ὡς μὴ ἔχοντες πατρίδα καὶ πολιτείαν, ἀλλὰ ἦσαν ἄνθρωποι ὀνομαστοὶ καὶ γνώριμοι, οἵτινες εἶχον καὶ πατρίδα καὶ γένος καὶ πολιτείαν. οὐδὲ ἔκτισαν τὴν Ῥώμην ὡς ληστάρχεῖον, ἀλλὰ ἐποίησαν αὐτὴν πόλιν ἔντιμον μετὰ βασιλείας καὶ πολιτείας εὐθὺς ἀπὸ τῆς ἀρχῆς. ὁμοίως βούλεται ἵνα δείξῃ καὶ τοῦτο, ὅτι οἱ θεοὶ αὐτοῦ καὶ τῶν Ἑλλήνων, ὅπερ ἐποίησαν εἰς τὴν Ῥώμην, ἐποίησαν αὐτὸ εὐλόγως καὶ δικαίως καὶ ὥσπερ ἔπρεπεν ἵνα ποιήσωσιν, διότι οὔτε εὐσεβέστεροι ἄνθρωποι ἐγένοντο εἰς τοὺς θεοὺς παρὸ τοὺς Ῥωμάνους, οὔτε δικαιότεροι εἰς ἀνθρώπους οὔτε σωφρονέστεροι εἰς τὰ πάθη οὔτε ἀνδρειότεροι εἰς τοὺς πολέμους καὶ εἰς τοὺς θανάτους οὔτε φρονιμώτεροι εἰς τὴν τάξιν καὶ τὴν κατάστασιν καὶ τὸ συμφέρον τῆς πολιτείας· οὐ μόνον οἱ ἀρχαῖοι κτίσται καὶ οἰκισταὶ τῆς Ῥώμης, ἀλλὰ καὶ οἱ μετὰ ταῦτα βασιλεῖς καὶ οἱ ὕπατοι, οὓς λέγουσιν οἱ Λατῖνοι κουνσούλους, καὶ οἱ βουλευταὶ αὐτῆς, οὓς λέγουσιν οἱ

κβ'. ὅτι βούλεται ἵνα δείξῃ ὁ Διονύσιος, ὅτι οἱ Ῥωμᾶνοι οὐκ ἦσαν βάρβαροι, ἀλλὰ γένος ἑλληνικόν.

κγ'. ὅτι καθὼς λέγει ὁ Διονυσιος οἱ θεοὶ αὐτοῦ δικαίως ἐτίμησαν τὴν Ῥώμην διὰ τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην τῶν Ῥωμάνων.

κβ'. ἦνα Vat. ρωμαῖοι V. εἶσαν Vat., corr. T. κγ'. ρωμαίων V. 22 ρωμαίους V.

Λατῖνοι σενάτους, καὶ ὅλον τὸ πλῆθος τῆς πόλεως, ὅπερ λέγεται λατινικῶς πόπουλον. ἀπὸ γὰρ μιᾶς ῥίζης τῶν ἀρχαίων οἰκιστῶν κατῆλθεν ἡ ἀγαθοσύνη καὶ ἡ ἀρετὴ εἰς πάντας τοὺς μετὰ ταῦτα καὶ βασιλεῖς καὶ βουλευτὰς καὶ τὸν λαὸν τῆς πόλεως πάντα. οὐ μόνον δὲ οἱ θεοὶ ηὔξησαν καὶ ἐτίμησαν τὴν Ῥώμην, εἶτα ἀφῆκαν αὐτὴν ἵνα διοικῆται αὐτὴ ὑφ' ἑαυτῆς, ἀλλ' ἀεί ποτε ἔβλεπον καὶ ἐφύλαττον αὐτὴν φανερῶς ἀπὸ παντὸς κακοῦ καὶ κινδύνου, ὅστις συνέβαινεν εἰς αὐτήν.

κδ'. ὅτι θερμὸς ἦν Διονύσιος εἰς τὴν πίστιν αὐτοῦ τὴν ἑλληνικήν.

ὁ μὲν οὖν Διονύσιος οὗτος κατὰ τὴν πίστιν αὐτοῦ οὕτως ὑπολαμβάνει καὶ οὕτως λέγει. ὑπάρχει γὰρ ὁ ἄνθρωπος τοσοῦτον θερμὸς εἰς τὴν πίστιν αὐτοῦ τὴν ἑλληνικήν, ὅσον οὐδεὶς τῶν ἀνθρώπων. καὶ γὰρ ἔγγιστα τὸ ἥμισυ τοῦ βιβλίου τούτου τῆς ἱστορίας γράφει διὰ τοὺς θεοὺς αὐτοῦ καὶ τοὺς ναοὺς αὐτῶν καὶ τὰς ἑορτὰς καὶ τὰς τιμὰς αὐτῶν. ἐγὼ γοῦν οὐκ εἶχον ἀνάγκην λέγειν περὶ αὐτῶν ὡς πραγμάτων ψευδῶν καὶ ἀνυποστάτων καὶ μηδεμίαν ἀλήθειαν, πᾶσαν δὲ πλάνην καὶ μωρίαν ἐχόντων. ἀλλ' ἐπειδὴ ἐν τοῖς περὶ τῶν θεῶν αὐτοῦ λόγοις διηγεῖται καὶ περί τινων ἀναγκαίων καὶ χωρὶς τούτων οὐ δυνάμεθα εἰπεῖν καὶ περὶ ἐκείνων, διὰ τοῦτο συμπλέκομεν καὶ τὰ περὶ τῶν θεῶν αὐτοῦ μετὰ τῶν ἀναγκαίων διηγήσεων. λαμβάνω γοῦν τὴν γλῶτταν αὐτοῦ καὶ λέγω εἴ τι ἔμελλε λέγειν ἐκεῖνος εἴπερ ἔζη, μᾶλλον δὲ εἴ τι λέγει καὶ ἀποθανὼν διὰ τῆς γραφῆς αὐτοῦ. οὗτος γοῦν λέγει, ὅτι οἱ θεοὶ αὐτοῦ ἐποίησαν τὴν Ῥώμην βασίλισσαν καὶ δέσποιναν ὅλης τῆς οἰκουμένης διὰ τὴν εὐσέβειαν καὶ τὴν ἀρετὴν τῶν οἰκιστῶν καὶ κτητόρων καὶ τοῦ λαοῦ παντὸς καὶ τῶν βασιλέων καὶ τῶν βουλευτῶν αὐτῆς.

κε'. ὅπως οὐχ οἱ θεοὶ τοῦ Διονυσίου καὶ τῶν Ἑλλήνων ἐτίμησαν καὶ ηὔξησαν τὴν Ῥώμην, ἀλλ' ὁ τρισυπόστατος θεός, ἐπειδὴ ἔμελλεν πρώτη δέξασθαι τὸ μυστήριον τοῦ χριστιανισμοῦ διὰ τῆς διδαχῆς Πέτρου καὶ Παύλου καὶ γενέσθαι κεφαλὴ τῆς ἐκκλησίας Χριστοῦ.

ἐγὼ δὲ λέγω, ὅτι οἱ θεοὶ αὐτοῦ οὔτε εἰσὶν οὔτε δύνανται. θεοὶ γάρ, φησὶν ἡ γραφή, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν. ἀλλ' ὅπερ ἐγένετο εἰς τὴν Ῥώμην ὑπῆρχε πρόνοια τοῦ πρώτου καὶ μόνου καὶ ἀληθινοῦ θεοῦ τῆς ἁγίας τριάδος. ἐπειδὴ γὰρ ἤγγιζεν ὁ καιρὸς καὶ ἐπλησίαζεν αἱ ἡμέραι, εἰς ἃς εὐδόκησεν ὁ θεός, ἵνα γένηται ἡ σάρκωσις καὶ ἡ ἐνανθρώπησις τοῦ υἱοῦ αὐτοῦ τοῦ θεοῦ καὶ λόγου, ἔμελλε δὲ ἵνα λάβῃ ἡ πίστις τοῦ μεγάλου καὶ ἀποῤῥήτου μυστηρίου τούτου ῥίζαν καὶ ἀρχὴν καὶ θεμέλιον διὰ τῆς διδαχῆς τῶν ἀποστόλων τοῦ Χριστοῦ Πέτρου καὶ Παύλου εἰς τὴν Ῥώμην, διὰ τοῦτο ὁ Χριστὸς αὐτὸς ᾠκονόμησεν πρὸ τῆς σαρκώσεως αὐτοῦ, ἵνα ἡ πόλις ἡ μέλλουσα δέχεσθαι καὶ πιστεῦσαι καὶ ἀποδέξασθαι τὸ μυστήριον τοῦτο κυρίως καὶ καθολικῶς ὑπὸ τῶν πρώτων καὶ κορυφαίων αὐτοῦ μαθητῶν ἄρξῃ καὶ κυριεύσῃ καὶ βασιλεύσῃ τοῦ κόσμου παντὸς καὶ πάσης τῆς οἰκουμένης, ἵνα ἀπὸ ταύτης ὡς ἀπὸ ῥίζης τινὸς καὶ πηγῆς μεταδοθῇ καὶ κηρυχθῇ καὶ βεβαιωθῇ εἰς πάντα τὰ ἔθνη καὶ πᾶσαν τὴν οἰκουμένην, ὥσπερ καὶ ἐγένετο ὕστερον. ἔπρεπε γὰρ τὸ μεγαλώτερον καὶ ὑψηλότερον πρᾶγμα τοῦ κόσμου εἰς τὴν μεγαλωτέραν καὶ εἰς τὴν ὑψηλοτέραν πόλιν τῆς οἰκουμένης ῥιζωθῆναι καὶ φανερωθῆναι. οὔτε γὰρ μεγαλωτέρα καὶ ἀληθεστέρα πίστις ἐστὶν παρὰ τῶν Χριστιανῶν, οὔτε μεγαλωτέρα ἀρχὴ καὶ βασιλεία ἀπὸ τοῦ αἰῶνος ἐγένετο παρὰ τῆς Ῥώμης. καὶ διὰ τοῦτο ἐποίησεν ὁ θεὸς ταύ-

κε'. ὁ ἰώ' καναβουτζῆς λέγει ante ὅπως add. Vat.-T ut supra. ἔμελλον V. 2—4 fort. in mente habebat Ps. 95, 5.

κϛʹ. ὅτι διὰ τὴν χριστοκτονίαν ὠργισμένης οὔσης ὑπὸ τοῦ θεοῦ τῆς Ἱερουσαλὴμ ἀντ' ἐκείνης ὁ θεὸς τὴν Ῥώμην ἀνύψωσε, δι' ἧς καὶ ἠφάνισε καὶ διέφθειρεν αὐτὴν διὰ τῶν χειρῶν Τίτου καὶ Οὐαισπασιανοῦ βασιλέων καὶ στρατηγῶν τῆς Ῥώμης.

την μεγάλην καὶ ἔνδοξον, ἵνα δέξηται καὶ βεβαιώσῃ τὸ μέγα καὶ εὔλογον καὶ ὑπέρτατον τῶν Χριστιανῶν κήρυγμα καὶ μυστήριον. ἐπειδὴ γὰρ ἔμελλε καταλύειν τὴν Ἱερουσαλὴμ ὡς ἀναξίαν τοῦ τοιούτου μυστηρίου διὰ τὴν χριστοκτονίαν, ἐμεγάλυνε καὶ ὕψωσε τὴν μέλλουσαν δέξασθαι τὸ μυστήριον, καὶ διὰ τῆς δεξαμένης καὶ ἀγαπησάσης τὸ μυστήριον φθείρῃ καὶ ἀφανίσῃ τὴν μὴ δεξαμένην αὐτό, ἀλλὰ γενομένην θεοκτόνον καὶ ἄπιστον. καὶ γὰρ ὑπὸ τῶν Ῥωμάνων κατεσκάφη καὶ ἠφανίσθη καὶ ᾐχμαλωτίσθη ἡ Ἱερουσαλήμ, ὅπερ καὶ ὁ Χριστὸς ὡς ἐκεῖνος ὢν ὁ μέλλων τοῦτο ποιεῖν ἔλεγεν· οὐ μὴ ἀφεθῇ λίθος ὧδε ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται. ὥστε ἐκεῖνος ὃς ἔμελλε φθείρειν τὴν Ἱερουσαλὴμ διὰ τὴν ἀπιστίαν αὐτῆς, ἐκεῖνος ὕψωσε τὴν Ῥώμην, διότι ἔμελλε δέχεσθαι τὸ μυστήριον αὐτοῦ καὶ βεβαιῶσαι καὶ μεταδοῦναι εἰς πᾶσαν τὴν οἰκουμένην, ὅπερ ἐγένετο ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ὕστερον. συνήθειαν γὰρ ἔχει ὁ θεός, ὅταν μέλλει ποιεῖν τι, πολλοῖς χρόνοις πρότερον οἰκονομεῖν καὶ κατασκευάζειν τὰ θεμέλια καὶ τὰς ἀρχὰς τοῦ πράγματος, ὃ μέλλει ποιεῖν, ὕστερον δὲ πολλοῖς χρόνοις ποιεῖν καὶ τὸ πρᾶγμα αὐτό, ὅπερ ἠβουλήθη ποιῆσαι. σημεῖον δὲ καὶ τοῦτο, ὅτι ὁ Χριστὸς ὁ μέγας βασιλεὺς ἐγεννήθη εἰς τὴν ἡμέραν τοῦ καίσαρος *Αὐγούστου*, ὅστις οὐδὲν ἔχει οὔτε πρὸ αὐτοῦ οὔτε μετ' αὐτὸν

κϛʹ. verba *Τίτου καὶ Οὐαισπασιανοῦ* numeros 3 2 1 alia manu suprascriptos habent in V. *τῆς* ante *Ῥώμης* deest V. 7 ante *διὰ ἵνα* videtur excidisse. 11 *ρωμαίων* V. 14. 15 cf. Matth. 24, 2. 26 *καίσσαρος* codd.

μεγαλώτερον βασιλέα. ἡ μὲν γὰρ βασιλεία τῆς Ῥώμης ἐνίκησε πάσας τὰς βασιλείας τοῦ κόσμου, καὶ πάλιν εἰς τὴν Ῥώμην ἀφ' οὗ ἐκτίσθη ἕως τῆς σήμερον μεγαλώτερος βασιλεὺς παρὸ τὸν καίσαρα τοῦτον οὐδὲν ἐγένετο, εἰ μὴ παρὰ τοῦ θεοῦ διὰ τὸ μεγαλεῖον τοῦ βασιλέως Χριστοῦ, ὅστις ἐγεννήθη εἰς τὸν καιρὸν τοῦ κοσμικοῦ μεγάλου βασιλέως καὶ διὰ τὸ μεγαλεῖον τῆς πίστεως αὐτοῦ, ἥτις ἐριζώθη εἰς τὴν βασίλισσαν τοῦ κόσμου παντὸς καὶ τῆς οἰκουμένης τὴν Ῥώμην, 9
ἥτις Ῥώμη μέχρι τῆς σήμερον, ἐὰν καὶ κοσμικῶς οὐδὲν ἄρχει τοῦ κόσμου, ἀλλὰ πνευματικῶς διὰ τὴν πίστιν βασιλεύει τοῦ κόσμου παντός. ὅλος γὰρ ὁ κόσμος γινώσκει, ὅτι ἡ ἐκκλησία τῆς Ῥώμης ἄρχει καὶ βασιλεύει τῶν ἁπανταχοῦ τοῦ κόσμου Χριστιανῶν καὶ πείθονται ταύτῃ καὶ ὑποτάσσονται πᾶσαι αἱ βασιλεῖαι τῆς γῆς, ἵνα μὴ διαπέσῃ ὁ ἐξ ἀρχῆς σκοπὸς τοῦ θεοῦ, ἀλλ' ἔχῃ τὴν τιμὴν ἄπαυστον καὶ αἰώνιον ἡ δεξαμένη τὸ μυστήριον αὐτοῦ καὶ τὴν ἐνανθρώπησιν πόλις. καὶ διὰ τοῦτο ηὐδόκησεν ἀναιρεθῆναι καὶ τοὺς πρώτους αὐτοῦ καὶ κορυφαίους ἀποστόλους τὸν Πέτρον καὶ Παῦλον εἰς τὴν Ῥώμην. εἰ γὰρ μὴ ἦν παρεωραμένη ἡ Ἱερουσαλὴμ διὰ τὴν χριστοκτονίαν ὑπὸ τοῦ κυρίου, καὶ ὁ Πέτρος ἂν καὶ ὁ Παῦλος ἐκεῖ ἔμελλον ἀποθνήσκειν, ὅπου ἀπέθανεν ὁ διδάσκαλος αὐτῶν καὶ θεός. νῦν δὲ τοῦτο μὲν οὐκ ἐγένετο διὰ τὴν ὀργὴν ἣν εἶχε πρὸς αὐτήν, ἔθηκε δὲ αὐτοὺς ἀντ' αὐτοῦ ὥσπερ θεμέλια τῆς πίστεως εἰς ἣν ἠγάπησεν καὶ ἐτίμησε πόλιν, ἵνα δοξάζηται καὶ ἐκείνη δι' αὐτοὺς καὶ

κζ'. ὅτι ἡ Ῥώμη μέχρι τῆς σήμερον κεφαλὴ τοῦ κόσμου ἐστὶν διὰ τὴν ἐκκλησίαν καὶ τὸ τοῦ πάπα ἀξίωμα.

4 καίσσαρα codd. 8 ἐριζάθη Vat. 20 διατοῦτο codd.

δοξάζωνται καὶ οὗτοι αἰωνίως ταῖς πρεπούσαις τιμαῖς ἐν αὐτῇ. καὶ ταύτην νομίζω ἐγὼ ἀληθεστάτην αἰτίαν, δι' ἣν ἀνεβίβασεν ὁ θεὸς εἰς τοσοῦτον ὕψος ἀρχῆς καὶ βασιλείας τὴν Ῥώμην, ἀλλὰ οὐκ ἐκείνην, ἣν λέγει ὁ Διονύσιος. ὅμως ἡ πρώτη αἰτία δι' ἣν ἦλθεν εἰς τὴν ἱστορίαν ὁ Διονύσιος, ἐστὶ καθὼς προείπομεν ἡ ἀπόδειξις τοῦ γένους τῶν Ῥωμάνων, ὅτι ἐστὶν ἑλληνικόν, καὶ ἵνα ἐκβάλῃ τὴν πεπλανημένην δόξαν καὶ ὑποψίαν, ἥντινα εἶχον οἱ Ἕλληνες περὶ τῶν οἰκιστῶν τῆς Ῥώμης ὡς ἀνοήτων καὶ κακοτρόπων καὶ βαρβάρων ἀνθρώπων, καὶ ἵνα παύσωνται βλασφημοῦντες εἰς τοὺς θεοὺς ὡς ἀδίκως καὶ παραλόγως δωρησαμένων τοσαύτην ἀρχὴν τῇ Ῥώμῃ καὶ τοσαῦτα ἀγαθά.

κη'. δευτέρα αἰτία δι' ἣν ἦλθεν εἰς τὴν ἱστορίαν τῆς Ῥώμης ὁ Διονύσιος.

δευτέραν δὲ αἰτίαν λέγει ὁ Διονύσιος ταύτην, δι' ἣν ἦλθεν εἰς τὴν ἱστορίαν, ἵνα διηγηθῇ καὶ ἐπαινέσῃ ἀξίως τὴν γνῶσιν, τὴν ἀνδρείαν, τὰ ἔργα, τοὺς λόγους τὰ πολιτεύματα, τὰ ἀνδραγαθήματα, τὰ κατορθώματα τὰ μεγάλα καὶ ἀξιόλογα καὶ ἀξιαφήγητα τῶν μεγάλων καὶ ἰσοθέων ἀνθρώπων ἐκείνων, οἵτινες ἔκτισαν καὶ ηὔξησαν καὶ ἐτίμησαν καὶ ἤγαγον εἰς τοσαύτην περιφάνειαν καὶ μεγαλειότητα τὴν Ῥώμην, ἐπειδὴ καθὼς λέγει ἕως τῆς ἡμέρας αὐτοῦ οὐδὲ εἷς οὔτε λατῖνος οὔτε ἕλλην ἱστορικὸς διηγήσατο ἢ ἐπήνεσε καθὼς ἔπρεπε τὰ ἔργα καὶ τὰ πολιτεύματα τῶν ἀνθρώπων τῆς Ῥώμης. ἐνόμισε γὰρ ὅτι ὑπάρχει τοῦτο ἀναγκαῖον καὶ εὐπρεπὲς διὰ δύο τινά· πρῶτον μὲν διὰ τὴν τιμὴν ἐκείνων, ἵνα μὴ στερηθῶσι τοιοῦτοι ἄνθρωποι ὁποῖοι ἦσαν ἐκεῖνοι τῆς τιμῆς καὶ τοῦ ἐπαίνου ὅστις ἁρμόζει καὶ πρέπει

8 ἐκβάλλη V. 27 ἐκείνην V.

αὐτοῖς, καὶ δεύτερον διὰ τὴν ὠφέλειαν καὶ τὴν προκοπὴν τῶν μετὰ ταῦτα καὶ εἰς τοὺς ὕστερον χρόνους γενομένων ἀνθρώπων. οἱ γὰρ ἄνθρωποι οἱ μέλλοντες γενέσθαι βλέποντες εἰς τὴν ἱστορίαν ταύτην, ποδαποὶ ἄνθρωποι ἦσαν οἱ πρόγονοι αὐτῶν καὶ εἰς πόσην εὐημερίαν καὶ δόξαν ἦλθον διὰ τὴν φρόνησιν καὶ τὰς ἀρετὰς καὶ τὰ προτερήματα ἅτινα εἶχον, μιμήσονται καὶ αὐτοὶ τοὺς προγόνους αὐτῶν καὶ σπουδάσουσι γενέσθαι ὅσον δυνατὸν ὅμοιοι ἐκείνοις καὶ ἄξιοι τῆς πατρίδος αὐτῶν καὶ τοῦ γένους αὐτῶν. καὶ ἐὰν γένωνται τοιοῦτοι, μέλλωσιν ἔχειν καὶ τὴν εὐμένειαν καὶ τὴν πρόνοιαν καὶ τὴν προμήθειαν τῶν θεῶν καθὼς καὶ οἱ πρόγονοι αὐτῶν καὶ οὐ μὴ δόξουσιν εἰς τοὺς ἀνθρώπους ἄτιμοι καὶ μικροπρεπεῖς καὶ ὄνειδος καὶ ὕβρις τῶν πατέρων καὶ τῶν πάππων καὶ τῶν προγόνων αὐτῶν καὶ ὅλως ἀνάξιοι λέγεσθαι παῖδες ἢ ἔγγονοι τοιούτων γονέων καὶ τοιούτων πατέρων καὶ προγόνων, ὁποῖοι ἦσαν ἐκεῖνοι. ἀλλὰ μᾶλλον λογισθήσονται καὶ οἱ πατέρες αὐτῶν ἔντιμοι καὶ καλοὶ καὶ χρήσιμοι ἀπὸ τῶν παίδων αὐτῶν καὶ μέλλωσι λαβεῖν οἱ πρόγονοι αὐτῶν τιμὴν πλείονα καὶ δόξαν, ἐὰν γένωνται οἱ ἔγγονοι αὐτῶν ἔντιμοι καὶ ἀγαθοὶ παρὸ ἐκείνην, ἥντινα εἶχον ὅτε ἔζων. ἡ γὰρ ἀπὸ τῶν παίδων τιμὴ εἰς τοὺς γονεῖς ἐστιν ἀναγκαιοτάτη καὶ γλυκεῖα καὶ ἐπιθυμητὴ [εἰς τοὺς γονεῖς] παρὸ ἐκείνην, ἥντινα κτήσονται οἱ γονεῖς ἀπὸ τῶν ἔργων αὐτῶν, παρόσον ἡ ἀπὸ τῶν ἔργων τιμὴ φθείρεται συντόμως, ἡ δὲ ἀπὸ τῶν ἐγγόνων τιμὴ τῶν γονέων διαμένει εἰς τοὺς αἰῶνας. οὐ

8 σπουδάσωσι V. 14 ὄνιδος codd. 16 ἔνγγονοι Vat. 25 verba εἰς τοὺς γονεῖς uncis inclusit linea subducta Vat. 27 φθείρηται Vat.

μόνον δὲ τοῦτο, ἀλλὰ καὶ πᾶς ἄνθρωπος ἀπὸ τῶν ἐγγόνων τῶν ἀνδρῶν ἐκείνων ἐὰν ὑπάρχῃ πεπαιδευμένος καὶ φρόνιμος, μάθῃ δὲ ἀπὸ τῆς ἱστορίας ταύτης, ὅτι εἶχεν προγόνους καλοὺς καὶ χρησίμους καὶ ἀνδρείους καὶ εἰς τὰ πάντα προτερημένους, ἔνι ἀνάγκη ἵνα σπουδάσῃ ὥστε γενέσθαι ἢ ὑπέρτερος καὶ θαυμασιώτερος παρὸ τοὺς γονεῖς αὐτοῦ ἢ τὸ ἐλάχιστον ἴσος καὶ ὅμοιος ἐκείνοις καὶ οὐ μὴ καταπέσῃ τὸ φρόνημα τὸ εὐγενὲς καὶ τίμιον αὐτοῦ ἀπὸ τοῦ ὕψους καὶ τοῦ μεγαλείου τῆς προγονικῆς ἀρετῆς καὶ τῶν γονικῶν προτερημάτων, ὥστε πράττειν ἀνάξια καὶ ἀπρεπῆ τοῦ γένους καὶ τῶν προγόνων αὐτοῦ. καὶ ὅταν γίνεται τοῦτο καὶ μιμοῦνται οἱ καλοὶ τοὺς καλοὺς καὶ οἱ φρόνιμοι τοὺς φρονίμους καὶ οἱ ἀνδρεῖοι τοὺς ἀνδρείους καὶ οἱ προτερημένοι τοὺς προτερημένους, τότε μέλλωσιν εὑρίσκεσθαι ἄνθρωποι ἀξιόλογοι καὶ θαυμάσιοι καὶ ἰσόθεοι καὶ εἰς τὴν Ῥώμην καὶ εἰς τὰς πόλεις ἁπάσας τὰς ῥωμαϊκὰς καὶ τὰς πολιτείας καὶ μέλλωσιν εἶναι ὥσπερ θεμέλια καὶ ἀρχαὶ τῆς εὐημερίας καὶ τῆς δόξης τῆς βασιλείας τῶν Ῥωμαίων. ὥσπερ γὰρ οἱ πρόγονοι αὐτῶν ἐποίησαν τὴν Ῥώμην ἀπὸ μικρᾶς καὶ ἀδόξου καὶ ταπεινῆς μεγάλην καὶ ἔνδοξον καὶ περιφανῆ, οὕτω καὶ οὗτοι μέλλουσι ποιεῖν αὐτὴν ἀπὸ μεγάλης καὶ ἐνδόξου μεγαλωτέραν καὶ ἐνδοξοτέραν ἢ μέλλουσιν κρατεῖν αὐτὴν βεβαίαν καὶ στερεὰν εἰς τὴν τιμὴν καὶ τὴν δόξαν καὶ τὴν εὐημερίαν, εἰς ἥντινα ἀνεβίβασαν αὐτὴν οἱ πατέρες αὐτῶν. μεγάλη γὰρ γνῶσις καὶ φρόνησις καὶ μέγα προτέρημά ἐστιν τὸ

14 φρονήμους Vat. 16 ἄνθροποι Vat. 20 ῥωμά ? ον Vat in textu. ἴσως ῥωμαίων a manu prorsus diversa additur in marg. ῥωμαίων T. V. 23 μέλλουσιν V.

δυνηθῆναι βαστάσαι καὶ κρατῆσαι μίαν ἀρχὴν εἰς τὴν κατάστασιν ἥντινα παρέλαβεν αὐτήν, ὥστε μὴ ἐλαττωθῆναι ἢ ταπεινωθῆναι ἢ καταφρονηθῆναι ταύτην. οἱ γὰρ τοιοῦτοι ἄνθρωποί εἰσιν οἱ ἐλευθεροῦντες τὰς πόλεις ἀπὸ τῶν κινδύνων ἐν τοῖς καιροῖς τῶν πολέμων, οἱ προτερημένοι καὶ πεπαιδευμένοι καὶ οἱ αὐξάνοντες καὶ μεγαλύνοντες αὐτὰς ἐν τοῖς καιροῖς τῆς εἰρήνης. καὶ ἂν ποιήσω τοῦτο διὰ τῆς ἱστορίας μου ταύτης, λέγει ὁ Διονύσιος, καὶ καταστήσω γενέσθαι τοιούτους ἀνθρώπους. ὁ γὰρ λόγος παιδεύει καὶ τελειοῖ τὸν ἄνθρωπον καὶ ἐκβάλλει αὐτὸν ἀπὸ τῆς τάξεως τοῦ ζώου. οἱ γὰρ ἄλογοι ἄνθρωποι μόνον διὰ τὴν ψυχὴν διαφέρουσι τῶν ζώων, εἰς δὲ τὰ ἄλλα πάντα εἰσὶ τοῖς ζώοις ὅμοιοι. ἂν γοῦν ποιήσω φησὶ τοῦτο, τρόπον τινὰ μέλλω πληρῶσαι καὶ ἐγὼ μέγα χρέος, ὅπερ χρεωστῶ τῇ Ῥώμῃ διὰ πολλὰ ἀγαθὰ ἅπερ ἀπήλαυσα παρ' αὐτῇ. καὶ αὕτη ἐστὶν ἡ δευτέρα αἰτία, δι' ἣν ἦλθεν εἰς τὴν ἱστορίαν ταύτην ὁ Διονύσιος. ἡ δὲ τρίτη καὶ τελευταία ἐστὶν τῆς ἱστορίας αἰτία ταύτης αὐτοῦ, ἵνα ἀφήσῃ καὶ οὗτος ὁ Διονύσιος φήμην καὶ ὄνομα εἰς τὸν κόσμον καὶ εἰς τοὺς ὕστερον ἀνθρώπους τῆς σοφίας αὐτοῦ καὶ τῆς ἀγάπης, ἥντινα εἶχεν εἰς τοὺς μεγαλοπρεπεῖς καὶ γενναίους ἐκείνους ἄνδρας καὶ εἰς τὰ μεγάλα καὶ θαυμάσια ἔργα αὐτῶν, ἅτινα διηγεῖται καὶ ἅτινα ἐπαινεῖ μετὰ ἀληθείας καὶ ἀκριβοῦς ἐξετάσεως. λέγει γὰρ ὁ ἱστορικὸς οὗτος καὶ ἰσχυρίζεται καὶ βεβαιοῖ καὶ ἀποδεικνύει, ὅτι καθολικὸς λόγος καὶ ἀληθινὸς καὶ ὁμολογούμενος παρὰ πάντων τῶν ἀπ' αἰῶνος ἀνθρώπων καὶ σοφῶν καὶ ἀσόφων ὑπάρχει, ὅτι τοιαύτην ψυχὴν

κθ'. τρίτη αἰτία δι' ἥντινα ἦλθεν ὁ Διονύσιος εἰς τὴν ἱστορίαν τῆς Ῥώμης.

18 δι' ἣ V.   30 ὁ τοιαύτην codd.

καὶ τοιαύτην γνώμην καὶ τοιαύτην κατάστασιν ἔχει πᾶς ἄνθρωπος κατὰ τὰ πράγματα ἅτινα ἀγαπᾷ καὶ ἅτινα μεταχειρίζεται καὶ κατὰ τοὺς ἀνθρώπους οὕστινας ἀγαπᾷ καὶ οὓς ἔχει φίλους καὶ πλησιάζει μετ' αὐτῶν. ἔλεγχος γάρ ἐστιν τῆς ἑκάστου ψυχῆς καὶ γνώμης ἡ ἑκάστου τῶν πραγμάτων ὧν ἀγαπᾷ μεταχείρισις. καὶ τοῦτό ἐστι φανερὸν ἀπὸ τῆς φύσεως τῶν πραγμάτων, ἃ ἐποίησεν ὁ θεός. πᾶν γὰρ πρᾶγμα, οὐ μόνον ὅπερ ἔχει αἴσθησιν, ἀλλὰ καὶ τὸ ἀναίσθητον, τὸ ὅμοιον ἀγαπᾷ καὶ εἰς τὸ ὅμοιον τρέχει. καὶ διὰ τοῦτο ὑπολαμβάνει καὶ οὗτος, ὅτι ἀπὸ τῆς ἱστορίας αὐτοῦ ταύτης μέλλει δόξαι καὶ αὐτὸς εἰς τοὺς ὕστερον ἀνθρώπους καὶ εἰς τοὺς τότε καλὸς καὶ ἀγαθὸς καὶ μεγαλοπρεπὴς καὶ ἔντιμος ἄνθρωπος. διότι ἠγάπησε καὶ ἐπῄνεσε διὰ τῆς γραφῆς αὐτοῦ τοὺς τοιούτους ἄνδρας καὶ τὰ ἔργα αὐτῶν. ἕκαστος γὰρ μέλλει λέγειν περὶ αὐτοῦ, ὅτι τοιοῦτος ὑπῆρχε καὶ ἐκεῖνος, ὁποῖοι ἦσαν οἱ ἄνθρωποι, οὓς ἠγάπησεν καὶ ἐτίμησεν καὶ ἐκοπίασεν εἰς τὸ διηγηθῆναι καὶ γράψαι τὰ ἔργα αὐτῶν καὶ τὰ προτερήματα. καὶ τοῦτο ποιεῖ αὐτὸν ἔχειν δόξαν ἀθάνατον εἰς τοὺς μετέπειτα πάντας ἀνθρώπους ὥσπερ καὶ ἐκείνους, οἵτινες ἐποίησαν τὰ μεγάλα καὶ θαυμαστὰ κατορθώματα. αὗται γοῦν αἱ τρεῖς αἰτίαι ὑπάρχουσιν ὥσπερ λέγει οὗτος, δι' ἅστινας ἦλθεν εἰς τὸ γράψαι τὴν ἱστορίαν τῆς Ῥώμης καὶ τῶν Ῥωμάνων. καὶ περὶ μὲν τῶν δύο τούτων αἰτιῶν τῶν τελευταίων λέγει ταῦτα ἅπερ εἴπομεν καὶ ἕτερα, ὅσα ἐφάνησαν αὐτῷ ἀρκετὰ εἰς τὴν ἀρχὴν τοῦ βιβλίου, περὶ δὲ τῆς πρώτης αἰτίας, δι' ἧς βούλεται ἵνα ἐκβάλλῃ τοὺς

10 διατοῦτο codd. 24 διάστινας codd. 25 ῥωμαίων V.

Ἕλληνας ἀπὸ τῆς πεπλανημένης ὑποψίας ἥντινα εἶχον περὶ τῶν Ῥωμάνων, ποιεῖται μέγαν καὶ πολὺν λόγον καὶ μεγάλας καὶ πολλὰς ἀποδείξεις ἀπὸ παλαιῶν ἱστοριῶν ἑλλήνων, δι' ὧν ἀποδεικνύει, ὅτι τῶν Ῥωμάνων τὸ γένος ὑπῆρχε γένος ἑλληνικόν. τοῦτο γὰρ ἔχει περὶ πολλοῦ ἵνα ἀποδείξῃ, ἀλλοτρόπως γὰρ οὐδὲν δύναται ἵνα ἐκβάλλῃ τὴν βαρβαρότητα ἀπὸ τοῦ γένους τῶν Ῥωμάνων.

λ'. πρῶτος στόλος Ἑλλήνων εἰς Ἰταλίαν, ὃν ἤγαγεν Οἴνωτρος.

λέγει γοῦν πῶς πρῶτον ἀπὸ τῆς Πελοπονήσου ἤγουν ἀπὸ τοῦ νῦν καλουμένου Μορέως ἀπὸ τῆς Ἀρκαδίας ἐξῆλθέν τις ὀνόματι Οἴνωτρος μετὰ στόλου μεγάλου καὶ κατῴκησεν εἰς τὰ μέρη ταῦτα, ἐν οἷς ἐκτίσθη ὕστερον ἡ Ῥώμη. καὶ ἐκλήθησαν οἱ ἄνθρωποι ἐκεῖνοι Οἴνωτροι καὶ ἡ χώρα ὅλη Οἰνωτρία ἀπὸ τοῦ ὀνόματος τούτου τοῦ Οἰνώτρου.

λα'. δεύτερος στόλος ἑλληνικὸς εἰς Ἰταλίαν τῶν καλουμένων Πελασγῶν.

δεύτερος στόλος ἑλληνικὸς ἐξῆλθεν ἀπὸ τῆς Πελοπονήσου πάλιν καὶ κατῴκησεν εἰς τὴν Θετταλίαν. Θετταλία δὲ λέγεται τὰ μέρη τῆς Θεσσαλονίκης τῆς Λαρίσσης, ἥτις καὶ Μακεδονία λέγεται. καὶ ἀπὸ τῆς Θετταλίας διεπέρασαν τὸν Ἰόνιον κόλπον, ὃν καλοῦσι νῦν κόλπον τῆς Βενετίας, καὶ ἀπῆλθον εἰς τὰ μέρη ταῦτα τῆς Ῥώμης καὶ ἐμίγησαν μετὰ τῶν Οἰνώτρων. ἐλέγοντο δὲ οἱ Ἕλληνες οὗτοι Πελασγοὶ ἀπὸ τοῦ ὀνόματος τοῦ βασιλέως αὐτῶν Πελασγοῦ.

λβ'. τρίτος στόλος ἑλληνικὸς εἰς Ἰταλίαν, ὃν ἤγαγεν Εὔανδρος.

τρίτος στόλος ἑλληνικὸς ἀπῆλθεν εἰς Ἰταλίαν καὶ οὗτος ἀπὸ τῆς Ἀρκαδίας ἀπὸ πόλεως Παλλαντίου ὀνομαζομένου. ταύτης γὰρ τῆς πόλεως ὁ λαὸς ἐστασίασεν καὶ ἐμερίσθη εἰς δύο. τὸ γοῦν ἓν μέρος μὴ ὑπομεῖναν τὴν καταφρόνησιν

2 ῥωμαίων V. 5. 6 ἵνα — οὐδὲν om. in textu Vat., add. in fine pag. man. rec. λα'. ἰταλίαν Vat. ubique. 18 ἴτις Vat. 26 παλαντίου codd.

τοῦ ἑτέρου ἐποίησαν ἡγεμόνα καὶ ἀρχηγὸν Εὔανδρόν τινα ὀνόματι καὶ ποιήσαντες πλοῖα διεπέρασαν καὶ οὗτοι εἰς τὴν Ἰταλίαν εἰς τὰ μέρη ταῦτα τῆς Ῥώμης καὶ κατῴκησαν ἐκεῖ μετὰ τῶν Οἰνώτρων καὶ τῶν Πελασγῶν ἑλληνικῶν ἐθνῶν περὶ ὧν εἴπομεν. κατῴκησαν δὲ οὗτοι εἰς τὸν Τίβεριν ποταμόν, ὅστις ῥέει σήμερον διὰ μέσης τῆς Ῥώμης.

λγ'. τέταρτος στόλος ἑλληνικὸς εἰς Ἰταλίαν, ὃν ἤγαγεν Ἡρακλῆς.

τέταρτος στόλος ἑλληνικὸς ἀπῆλθεν εἰς Ἰταλίαν ἀπὸ τῆς Πελοποννήσου ἀπὸ τῆς πόλεως ἥτις λέγεται Ἄργος. ἔστι δὲ τὸ Ἄργος πόλις εἰς τὴν Πελοπόνησον, ἥντινα ἔχουσι σήμερον οἱ Βενέτικοι. ὅντινα στόλον ἀπήγαγεν εἰς τὰ μέρη ἐκεῖνα τῆς Ἰταλίας ὁ Ἡρακλῆς. Ἡρακλῆς δέ ἐστιν ὅντινα λέγουσιν οἱ Λατῖνοι Ἕρκουλα· οὗτος γὰρ ὁ Ἡρακλῆς βασιλεὺς ὢν μέγας καὶ δυνατὸς σοφός τε καὶ δίκαιος καὶ ἀνδρεῖος καὶ ἀγαθὸς καὶ εἰς πάντα προμηθευτικώτατος, ὅστις καὶ διὰ τὰς ἀρετὰς καὶ τὰς χάριτας ἅστινας εἶχεν ἐλέγετο υἱὸς τοῦ Διὸς καὶ θεός —

λδ'. διὰ τίνα αἰτίαν ἀπῆλθεν ὁ Ηρακλῆς μέχρι τοῦ ἄκρου τῆς γῆς.

οὗτος οὖν ὁ Ἡρακλῆς ἐποίησε στόλον μέγαν καὶ ἀπῆλθε εἰς τὰ μέρη ἐκεῖνα τοῦ ἄκρου τῆς γῆς ἤγουν εἰς τὸ κάτω στενόν, ὅπερ λέγουσιν οἱ Λατῖνοι Στρέτο Ζουμπλῖτα. εἰς τοῦ στενοῦ γὰρ τούτου τὸ στόμα ἐστὶ τὸ τέλος τῆς δυσικῆς γῆς. ἀπῆλθε γοῦν ἐπὶ σκοπῷ ὅτι τοὺς βασιλεῖς καὶ τοὺς ἄρχοντας τῶν τόπων ἐκείνων, οἵτινες ἦσαν κακότροποι καὶ ὀχλικοὶ καὶ ἄδικοι, ἵνα ἐκβάλῃ ἀπὸ τῆς βασιλείας αὐτῶν καὶ δώσῃ αὐτὰς πρὸς ἄλλους καλοὺς καὶ ἀγαθοὺς καὶ ἡμέρους καὶ δικαίους βασιλεῖς. καὶ ἐποίησεν οὕτως καὶ ἡμέρωσεν τὸν κόσμον ἐκεῖνον ὅλον. ὅταν γοῦν ἀπῆλθε μέχρι τοῦ ἄκρου

2 διεπεράσαν codd. 15 καὶ ἀνδρεῖος καὶ δίκαιος V. 23 ἐπισκοπῶ Vat. 25 ὀχληκοί codd. ἐκβάλλη V. 26 δόση Vat.

τῆς γῆς, ἐκεῖ ἔστησεν δύο κιόνας καὶ ἐπάνω αὐτῶν δύο στήλας ἤως εἰκόνας χαλκᾶς αὐτοῦ εἰς μνήμην καὶ ἐνθύμησιν τοῦ πράγματος, ἅστινας στήλας τοῦ Ηρακλέους λέγουσιν, οἱ Λατῖνοι κολῶναι Ἑρκούλεε. ἀναστρέφων γοῦν ὁ Ἡρακλῆς ἦλθεν εἰς τὸν Τίβεριν ποταμὸν καὶ ἐκεῖ ὑπήντησαν αὐτῷ οἱ κατοικοῦντες τὰ μέρη ἐκεῖνα Ἕλληνες οὓς προείπομεν καὶ ἐτίμησαν αὐτὸν ὡς θεὸν καὶ ἐποίησαν αὐτῷ καὶ ναὸν καὶ ἐποίησαν καὶ θυσίαν αὐτῷ ὥσπερ θεῷ διὰ τὰ ἔργα ἅπερ ἐποίησεν. πολλοὶ γοῦν τῶν Ἑλλήνων τῶν μετ' αὐτοῦ ἰδόντες τὴν γῆν καλὴν καὶ λιπαρὰν καὶ τοὺς Ἕλληνας τοὺς κατοικοῦντας ἐκεῖ παρεκάλεσαν τὸν Ἡρακλέα, ἵνα ἀφήσῃ αὐτοὺς κατοικῆσαι εἰς τὸν τόπον ἐκεῖνον μετὰ τῶν ἐντοπίων Ἑλλήνων. καὶ γὰρ ἦσαν καὶ ἀπὸ τοῦ κόπου καὶ τῆς στρατείας καὶ τῶν πολέμων οἱ πλείονες ἀσθενεῖς καὶ ἀδύνατοι καὶ οὐκ ἠδύναντο κοπιᾶν πάλιν καὶ ὑποστρέφειν τοσοῦτον τόπον. ἀκούσας οὖν ὁ Ἡρακλῆς τὴν παράκλησιν αὐτῶν ἀφῆκεν πολλοὺς εἰς τὸν τόπον τοῦτον, αὐτὸς δὲ μετὰ τῶν λοιπῶν ὑπέστρεφεν εἰς τὸ Ἄργος. οὗτοι δὲ οἱ τοῦ Ἡρακλέους Ἕλληνες κατοικίζονται εἰς ἕνα λόφον ἤγουν εἰς βουνίον μικρόν, ὃς τότε ἐλέγετο Σατόρνιος ἀπὸ τοῦ ὀνόματος τοῦ θεοῦ τοῦ Σατούρνου, ὅντινα λέγουσιν οἱ Ἕλληνες Κρόνον, Λατῖνοι δὲ Σατοῦρνον. νῦν δὲ ὁ λόφος ἐκεῖνος λέγεται Καπιτωλῖνος καί ἐστι σήμερον ἐντὸς τῆς Ῥώμης. Καπιτωλῖνος δὲ ὠνομάσθη ἀπὸ αἰτίας τοιαύτης. εἰς τὸν μετὰ ταῦτα καιρὸν ἀφ' οὗ ἐκτίσθη καὶ οἰκίσθη ἡ Ῥώμη, ἐγένετο ἐν αὐτῇ μετὰ πολλοὺς

λε'. πῶς ἐτιμήθη ὁ Ἡρακλῆς ὡς θεός.

λς'. ὅτι οἱ καταλειφθέντες εἰς Ἰταλίαν ὑπὸ Ἡρακλέους Ἕλληνες εἰς τὸν λεγόμενον Σατόρνιον, ὕστερον δὲ Καπιτωλῖνον κατῴκησαν λόφον.

2 ἤγουν V. 12 κατικοῦντας Vat. 22 σαντόρνιος Vat. 27 marg. adscr. πόθεν ὠνομάσθη καπιτωλῖνος V.

λζ΄. ὅτι ἀπὸ τῆς κεφαλῆς ἥτις εὑρέθη ἐν τῷ λόφῳ τούτῳ κτιζομένου τοῦ ναοῦ, ὑπὸ τὸν ἔγγονα τοῦ Ταρκυνίου ὁ λόφος ἐκλήθη Καπιτωλῖνος.

βασιλεῖς εἷς βασιλεὺς ὀνόματι Ταρκύνιος. οὗτος εἶχε πόλεμον μετὰ τῶν κύκλῳ τῆς Ῥώμης ἐθνῶν. ὅταν οὖν ἦλθεν εἰς τοῦτο, ὅτι ὑπῆρχεν ἀνάγκη ἵνα μίξωσι τὰ στρατεύματα, ἐφοβήθη καὶ ἐδειλίασεν. ηὔξατο γοῦν, ὅτι ἐὰν νικήσῃ τὸν πόλεμον ἐκεῖνον, ἵνα ποιήσῃ βωμὸν καὶ ναὸν μέγαν καὶ περικαλῆ τῷ θεῷ αὐτοῦ τῷ Διί, ὅστις καὶ Ζεὺς λέγεται, λατινικῶς δὲ Γιούμπιτερ. ἐνίκησε τὸν πόλεμον γοῦν ὁ Ταρκύνιος καὶ ἤρξατο ποιεῖν τὸν ναὸν τοῦτον εἰς τὸν λόφον τοῦτον, ὃς ἐλέγετο τότε Σατόρνιος, οὐκ ἔφθασε δὲ θεμελιῶσαι τοῦτον καὶ ἀπέθανε. ὁ δὲ ἔγγονος αὐτοῦ μετὰ πολλοὺς χρόνους ἤρξατο τελειῶσαι τὸ ἔργον τοῦ πάππου αὐτοῦ. σκαπτόντων γοῦν τῶν ἀνθρώπων τὰ θεμέλια εὑρέθη ὑποκάτω τῆς γῆς κεφαλὴ ἀνθρώπου κεκομμένη ῥέουσα θερμὸν αἷμα καὶ πολύ, ὅπερ ἰδόντες οἱ ἄνθρωποι ἐξεπλάγησαν καὶ ἐφοβήθησαν καὶ ἀπήγγειλαν τοῦτο πρὸς τὸν βασιλέα Ταρκύνιον. ὁ δὲ συνάξας τοὺς βουλευτὰς αὐτοῦ καὶ τοὺς μάντεις καὶ τοὺς σοφοὺς αὐτοῦ καὶ τοὺς ἱερεῖς ἀπῆλθε μετὰ φόβου μεγάλου καὶ τρόμου καὶ εἶδεν τὸ τέρας τοῦτο τὸ παράδοξον. ἐρωτᾷ γοῦν τοὺς μάντεις, τί ἄρα σημαίνει τὸ σημεῖον τοῦτο τὸ παράδοξον καὶ φοβερόν. οἱ δὲ εἶπον ὅτι αὐτοὶ μὲν οὐ δύνανται εἰπεῖν περὶ τούτου τι· ὑπερβαίνει γὰρ καὶ τὴν τέχνην καὶ τὴν σοφίαν αὐτῶν τὸ σημεῖον τοῦτο. συμβουλεύουσι δὲ τῷ βασιλεῖ, ἵνα ἀποστείλῃ πρέσβεις ἤγουν ἀποκρισιαρίους εἰς τὴν Τυῤῥηνίαν. Τυῤῥηνία δὲ ἐκαλεῖτο τότε ὁ ἀπὸ τῆς

λζ΄. ἔγκονα codd. τοῦ ante *Ταρκυνίου* deest Vat. 5 ἐδειλίασε Vat. 17 ἐξάπλάγησαν Vat. 18 ὁδὸν pro ὁ δὲ Vat. 22. 23 σημένει Vat. 23. 24 οἱδὸν pro οἱ δὲ Vat.

Ῥώμης εἰς τὰ κάτω μέρη αἰγιαλός. ὑπῆρχε ἄλλη βασιλεία τότε ἰδία, μεγάλη καὶ ἰσχυροτέρα παρὰ τὴν βασιλείαν τῆς Ῥώμης τῷ καιρῷ ἐκείνῳ. ἐκεῖ γοῦν ἔλεγον οἱ μάντεις, ὅτι ἔστι μέγας καὶ θαυμάσιος μάντις, ὅστις δύναται λύειν καὶ διασαφεῖν, τί βούλεται τὸ σημεῖον τοῦτο, ἄλλος δὲ οὐδείς. ἐποίησε τοῦτο ὁ βασιλεὺς καὶ ἀπέστειλε πρεσβευτὰς πρὸς τὸν μάντιν ἐκεῖνον. ἀκούσας δὲ ὁ μάντις παρὰ τῶν πρέσβεων τὸ σημεῖον τοῦτο ἐνόησε, ὅτι εἰς μέγα ἀγαθὸν τῆς Ῥώμης ἐγένετο τὸ σημεῖον τοῦτο καὶ ἐβούλετο εἰπεῖν ἄλλην λύσιν καὶ ἐξήγησιν παρὰ τὴν ἀληθινὴν εἰς αὐτούς. οὗτοι δὲ παρεκάλουν αὐτόν, ἵνα εἴπῃ αὐτοῖς πᾶσαν τὴν ἀλήθειαν καὶ μὴ παραλογίσηται αὐτοὺς καὶ εἴπῃ ἄλλα ἀντὶ ἄλλων. νικηθεὶς οὖν ὁ μάντις ὑπὸ τῶν παρακλήσεων εἶπε πρὸς αὐτούς· ἀπέλθατε ἄνδρες Ῥωμαῖοι καὶ εἴπατε τῷ βασιλεῖ ὑμῶν καὶ πᾶσι τοῖς Ῥωμαίοις, ὅτι πρόκειται ἵνα γένηται κεφαλὴ τοῦ κόσμου ὅλου ὁ τόπος ἐκεῖνος ἐν ᾧ εὑρέθη ἡ κεφαλὴ αὕτη, πλὴν διὰ πολέμων καὶ σφαγῶν καὶ αἱμάτων πολλῶν. ταῦτα ἀκούσαντες οἱ πρέσβεις ἀπήγγειλαν τῷ βασιλεῖ καὶ τοῖς Ῥωμαίοις πᾶσι μετὰ χαρᾶς μεγάλης καὶ ὁ βασιλεὺς μετὰ σπουδῆς ἐποίησεν τὸν ναὸν τοῦ Διός. ἀπὸ τότε ἐκλήθη ὁ λόφος ἐκεῖνος Καπιτωλῖνος ἤγουν τόπος τῆς κεφαλῆς· κάπιτα γὰρ οἱ Ῥωμαῖοι λέγουσι τὰς κεφαλάς. ἀπὸ τούτου τοῦ πράγματος ἐποίησαν οἱ ὕστερον βασιλεῖς μονῆταν ἤγουν τὴν ἰδιωτικῶς λεγομένην στάμπαν, δι' ἧς ἐχάρασσαν νομίσματα εἰς τὴν Ῥώμην ἔχοντα ἐπιγραφήν· Ῥούμα κάπουτ μούντη, ἤγουν

λη'. ἀπόφασις τοῦ μάντεως περὶ τῆς εὑρεθείσης κεφαλῆς ἐν τῷ Σατορνίῳ λόφῳ ἐν τοῖς θεμελίοις τοῦ κτιζομένου ναοῦ.

13 παραλογήσηται codd. λη'. εὑρεθούσης V. 27 μονίταν codd.

δοξάζωνται καὶ οὗτοι αἰωνίως ταῖς πρεπούσαις τιμαῖς ἐν αὐτῇ. καὶ ταύτην νομίζω ἐγὼ ἀληθεστάτην αἰτίαν, δι' ἣν ἀνεβίβασεν ὁ θεὸς εἰς τοσοῦτον ὕψος ἀρχῆς καὶ βασιλείας τὴν Ῥώμην, ἀλλὰ οὐκ ἐκείνην, ἣν λέγει ὁ Διονύσιος. ὅμως ἡ πρώτη αἰτία δι' ἣν ἦλθεν εἰς τὴν ἱστορίαν ὁ Διονύσιος, ἐστὶ καθὼς προείπομεν ἡ ἀπόδειξις τοῦ γένους τῶν Ῥωμάνων, ὅτι ἐστὶν ἑλληνικόν, καὶ ἵνα ἐκβάλῃ τὴν πεπλανημένην δόξαν καὶ ὑποψίαν, ἥντινα εἶχον οἱ Ἕλληνες περὶ τῶν οἰκιστῶν τῆς Ῥώμης ὡς ἀνοήτων καὶ κακοτρόπων καὶ βαρβάρων ἀνθρώπων, καὶ ἵνα παύσωνται βλασφημοῦντες εἰς τοὺς θεοὺς ὡς ἀδίκως καὶ παραλόγως δωρησαμένων τοσαύτην ἀρχὴν τῇ Ῥώμῃ καὶ τοσαῦτα ἀγαθά.

κη'. δευτέρα αἰτία δι' ἣν ἦλθεν εἰς τὴν ἱστορίαν τῆς Ῥώμης ὁ Διονύσιος.

δευτέραν δὲ αἰτίαν λέγει ὁ Διονύσιος ταύτην, δι' ἣν ἦλθεν εἰς τὴν ἱστορίαν, ἵνα διηγηθῇ καὶ ἐπαινέσῃ ἀξίως τὴν γνῶσιν, τὴν ἀνδρείαν, τὰ ἔργα, τοὺς λόγους τὰ πολιτεύματα, τὰ ἀνδραγαθήματα, τὰ κατορθώματα τὰ μεγάλα καὶ ἀξιόλογα καὶ ἀξιαφήγητα τῶν μεγάλων καὶ ἰσοθέων ἀνθρώπων ἐκείνων, οἵτινες ἔκτισαν καὶ ηὔξησαν καὶ ἐτίμησαν καὶ ἤγαγον εἰς τοσαύτην περιφάνειαν καὶ μεγαλειότητα τὴν Ῥώμην, ἐπειδὴ καθὼς λέγει ἕως τῆς ἡμέρας αὐτοῦ οὐδὲ εἷς οὔτε λατῖνος οὔτε Ἕλλην ἱστορικὸς διηγήσατο ἢ ἐπήνεσε καθὼς ἔπρεπε τὰ ἔργα καὶ τὰ πολιτεύματα τῶν ἀνθρώπων τῆς Ῥώμης. ἐνόμισε γὰρ ὅτι ὑπάρχει τοῦτο ἀναγκαῖον καὶ εὐπρεπὲς διὰ δύο τινά· πρῶτον μὲν διὰ τὴν τιμὴν ἐκείνων, ἵνα μὴ στερηθῶσι τοιοῦτοι ἄνθρωποι ὁποῖοι ἦσαν ἐκεῖνοι τῆς τιμῆς καὶ τοῦ ἐπαίνου ὅστις ἁρμόζει καὶ πρέπει

8 ἐκβάλλῃ V. 27 ἐκείνην V.

αὐτοῖς, καὶ δεύτερον διὰ τὴν ὠφέλειαν καὶ τὴν προκοπὴν τῶν μετὰ ταῦτα καὶ εἰς τοὺς ὕστερον χρόνους γενομένων ἀνθρώπων. οἱ γὰρ ἄνθρωποι οἱ μέλλοντες γενέσθαι βλέποντες εἰς τὴν ἱστορίαν ταύτην, ποδαποὶ ἄνθρωποι ἦσαν οἱ πρόγονοι αὐτῶν καὶ εἰς πόσην εὐημερίαν καὶ δόξαν ἦλθον διὰ τὴν φρόνησιν καὶ τὰς ἀρετὰς καὶ τὰ προτερήματα ἅτινα εἶχον, μιμήσονται καὶ αὐτοὶ τοὺς προγόνους αὐτῶν καὶ σπουδάσουσι γενέσθαι ὅσον δυνατὸν ὅμοιοι ἐκείνοις καὶ ἄξιοι τῆς πατρίδος αὐτῶν καὶ τοῦ γένους αὐτῶν. καὶ ἐὰν γένωνται τοιοῦτοι, μέλλωσιν ἔχειν καὶ τὴν εὐμένειαν καὶ τὴν πρόνοιαν καὶ τὴν προμήθειαν τῶν θεῶν καθὼς καὶ οἱ πρόγονοι αὐτῶν καὶ οὐ μὴ δόξουσιν εἰς τοὺς ἀνθρώπους ἄτιμοι καὶ μικροπρεπεῖς καὶ ὄνειδος καὶ ὕβρις τῶν πατέρων καὶ τῶν πάππων καὶ τῶν προγόνων αὐτῶν καὶ ὅλως ἀνάξιοι λέγεσθαι παῖδες ἢ ἔγγονοι τοιούτων γονέων καὶ τοιούτων πατέρων καὶ προγόνων, ὁποῖοι ἦσαν ἐκεῖνοι. ἀλλὰ μᾶλλον λογισθήσονται καὶ οἱ πατέρες αὐτῶν ἔντιμοι καὶ καλοὶ καὶ χρήσιμοι ἀπὸ τῶν παίδων αὐτῶν καὶ μέλλωσι λαβεῖν οἱ πρόγονοι αὐτῶν τιμὴν πλείονα καὶ δόξαν, ἐὰν γένωνται οἱ ἔγγονοι αὐτῶν ἔντιμοι καὶ ἀγαθοὶ παρὸ ἐκείνην, ἥντινα εἶχον ὅτε ἔζων. ἡ γὰρ ἀπὸ τῶν παίδων τιμὴ εἰς τοὺς γονεῖς ἐστιν ἀναγκαιοτάτη καὶ γλυκεῖα καὶ ἐπιθυμητὴ [εἰς τοὺς γονεῖς] παρὸ ἐκείνην, ἥντινα κτήσονται οἱ γονεῖς ἀπὸ τῶν ἔργων αὐτῶν, παρόσον ἡ ἀπὸ τῶν ἔργων τιμὴ φθείρεται συντόμως, ἡ δὲ ἀπὸ τῶν ἐγγόνων τιμὴ τῶν γονέων διαμένει εἰς τοὺς αἰῶνας. οὐ

8 σπουδάσωσι V. 14 ὄνιδος codd. 16 ἔνγγονοι Vat. 25 verba εἰς τοὺς γονεῖς uncis inclusit linea subducta Vat. 27 φθείρηται Vat.

μόνον δὲ τοῦτο, ἀλλὰ καὶ πᾶς ἄνθρωπος ἀπὸ τῶν ἐγγόνων τῶν ἀνδρῶν ἐκείνων ἐὰν ὑπάρχῃ πεπαιδευμένος καὶ φρόνιμος, μάθῃ δὲ ἀπὸ τῆς ἱστορίας ταύτης, ὅτι εἶχεν προγόνους καλοὺς καὶ χρησίμους καὶ ἀνδρείους καὶ εἰς τὰ πάντα προτερημένους, ἔνι ἀνάγκη ἵνα σπουδάσῃ ὥστε γενέσθαι ἢ ὑπέρτερος καὶ θαυμασιώτερος παρὸ τοὺς γονεῖς αὐτοῦ ἢ τὸ ἐλάχιστον ἴσος καὶ ὅμοιος ἐκείνοις καὶ οὐ μὴ καταπέσῃ τὸ φρόνημα τὸ εὐγενὲς καὶ τίμιον αὐτοῦ ἀπὸ τοῦ ὕψους καὶ τοῦ μεγαλείου τῆς προγονικῆς ἀρετῆς καὶ τῶν γονικῶν προτερημάτων, ὥστε πράττειν ἀνάξια καὶ ἀπρεπῆ τοῦ γένους καὶ τῶν προγόνων αὐτοῦ. καὶ ὅταν γίνεται τοῦτο καὶ μιμοῦνται οἱ καλοὶ τοὺς καλοὺς καὶ οἱ φρόνιμοι τοὺς φρονίμους καὶ οἱ ἀνδρεῖοι τοὺς ἀνδρείους καὶ οἱ προτερημένοι τοὺς προτερημένους, τότε μέλλωσιν εὑρίσκεσθαι ἄνθρωποι ἀξιόλογοι καὶ θαυμάσιοι καὶ ἰσόθεοι καὶ εἰς τὴν Ῥώμην καὶ εἰς τὰς πόλεις ἁπάσας τὰς ῥωμαϊκὰς καὶ τὰς πολιτείας καὶ μέλλωσιν εἶναι ὥσπερ θεμέλια καὶ ἀρχαὶ τῆς εὐημερίας καὶ τῆς δόξης τῆς βασιλείας τῶν Ῥωμαίων. ὥσπερ γὰρ οἱ πρόγονοι αὐτῶν ἐποίησαν τὴν Ῥώμην ἀπὸ μικρᾶς καὶ ἀδόξου καὶ ταπεινῆς μεγάλην καὶ ἔνδοξον καὶ περιφανῆ, οὕτω καὶ οὗτοι μέλλουσι ποιεῖν αὐτὴν ἀπὸ μεγάλης καὶ ἐνδόξου μεγαλωτέραν καὶ ἐνδοξοτέραν ἢ μέλλουσιν κρατεῖν αὐτὴν βεβαίαν καὶ στερεὰν εἰς τὴν τιμὴν καὶ τὴν δόξαν καὶ τὴν εὐημερίαν, εἰς ἥντινα ἀνεβίβασαν αὐτὴν οἱ πατέρες αὐτῶν. μεγάλη γὰρ γνῶσις καὶ φρόνησις καὶ μέγα προτέρημά ἐστιν τὸ

14 φρονήμους Vat. 16 ἄνθροποι Vat. 20 ῥωμά ? ον Vat in textu. ἴσως ῥωμαίων a manu prorsus diversa additur in marg. ῥωμαίων T. V. 23 μέλλουσιν V.

θυνηθῆναι βαστάσαι καὶ κρατῆσαι μίαν ἀρχὴν εἰς τὴν κατάστασιν ἥντινα παρέλαβεν αὐτήν, ὥστε μὴ ἐλαττωθῆναι ἢ ταπεινωθῆναι ἢ καταφρονηθῆναι ταύτην. οἱ γὰρ τοιοῦτοι ἄνθρωποί εἰσιν οἱ ἐλευθεροῦντες τὰς πόλεις ἀπὸ τῶν κινδύνων ἐν τοῖς καιροῖς τῶν πολέμων, οἱ προτερημένοι καὶ πεπαιδευμένοι καὶ οἱ αὐξάνοντες καὶ μεγαλύνοντες αὐτὰς ἐν τοῖς καιροῖς τῆς εἰρήνης. καὶ ἂν ποιήσω τοῦτο διὰ τῆς ἱστορίας μου ταύτης, λέγει ὁ Διονύσιος, καὶ καταστήσω γενέσθαι τοιούτους ἀνθρώπους. ὁ γὰρ λόγος παιδεύει καὶ τελειοῖ τὸν ἄνθρωπον καὶ ἐκβάλλει αὐτὸν ἀπὸ τῆς τάξεως τοῦ ζώου. οἱ γὰρ ἄλογοι ἄνθρωποι μόνον διὰ τὴν ψυχὴν διαφέρουσι τῶν ζώων, εἰς δὲ τὰ ἄλλα πάντα εἰσὶ τοῖς ζώοις ὅμοιοι. ἂν γοῦν ποιήσω φησὶ τοῦτο, τρόπον τινὰ μέλλω πληρῶσαι καὶ ἐγὼ μέγα χρέος, ὅπερ χρεωστῶ τῇ Ῥώμῃ διὰ πολλὰ ἀγαθὰ ἅπερ ἀπήλαυσα παρ' αὐτῇ. καὶ αὕτη ἐστὶν ἡ δευτέρα αἰτία, δι' ἣν ἦλθεν εἰς τὴν ἱστορίαν ταύτην ὁ Διονύσιος.

κθ'. τρίτη αἰτία δι' ἥντινα ἦλθεν ὁ Διονύσιος εἰς τὴν ἱστορίαν τῆς Ῥώμης.

ἡ δὲ τρίτη καὶ τελευταία ἐστὶν τῆς ἱστορίας αἰτία ταύτης αὐτοῦ, ἵνα ἀφήσῃ καὶ οὗτος ὁ Διονύσιος φήμην καὶ ὄνομα εἰς τὸν κόσμον καὶ εἰς τοὺς ὕστερον ἀνθρώπους τῆς σοφίας αὐτοῦ καὶ τῆς ἀγάπης, ἥντινα εἶχεν εἰς τοὺς μεγαλοπρεπεῖς καὶ γενναίους ἐκείνους ἄνδρας καὶ εἰς τὰ μεγάλα καὶ θαυμάσια ἔργα αὐτῶν, ἅτινα διηγεῖται καὶ ἅτινα ἐπαινεῖ μετὰ ἀληθείας καὶ ἀκριβοῦς ἐξετάσεως. λέγει γὰρ ὁ ἱστορικὸς οὗτος καὶ ἰσχυρίζεται καὶ βεβαιοῖ καὶ ἀποδεικνύει, ὅτι καθολικὸς λόγος καὶ ἀληθινὸς καὶ ὁμολογούμενος παρὰ πάντων τῶν ἀπ' αἰῶνος ἀνθρώπων καὶ σοφῶν καὶ ἀσόφων ὑπάρχει, ὅτι τοιαύτην ψυχὴν

18 *δι'* ἣ V.   30 *ὁ τοιαύτην* codd.

καὶ τοιαύτην γνώμην καὶ τοιαύτην κατάστασιν ἔχει πᾶς ἄνθρωπος κατὰ τὰ πράγματα ἅτινα ἀγαπᾷ καὶ ἅτινα μεταχειρίζεται καὶ κατὰ τοὺς ἀνθρώπους οὕστινας ἀγαπᾷ καὶ οὓς ἔχει φίλους καὶ πλησιάζει μετ' αὐτῶν. ἔλεγχος γάρ ἐστιν τῆς ἑκάστου ψυχῆς καὶ γνώμης ἡ ἑκάστου τῶν πραγμάτων ὧν ἀγαπᾷ μεταχείρισις. καὶ τοῦτό ἐστι φανερὸν ἀπὸ τῆς φύσεως τῶν πραγμάτων, ἃ ἐποίησεν ὁ θεός. πᾶν γὰρ πρᾶγμα, οὐ μόνον ὅπερ ἔχει αἴσθησιν, ἀλλὰ καὶ τὸ ἀναίσθητον, τὸ ὅμοιον ἀγαπᾷ καὶ εἰς τὸ ὅμοιον τρέχει. καὶ διὰ τοῦτο ὑπολαμβάνει καὶ οὗτος, ὅτι ἀπὸ τῆς ἱστορίας αὐτοῦ ταύτης μέλλει δόξαι καὶ αὐτὸς εἰς τοὺς ὕστερον ἀνθρώπους καὶ εἰς τοὺς τότε καλὸς καὶ ἀγαθὸς καὶ μεγαλοπρεπὴς καὶ ἔντιμος ἄνθρωπος. διότι ἠγάπησε καὶ ἐπήνεσε διὰ τῆς γραφῆς αὐτοῦ τοὺς τοιούτους ἄνδρας καὶ τὰ ἔργα αὐτῶν. ἕκαστος γὰρ μέλλει λέγειν περὶ αὐτοῦ, ὅτι τοιοῦτος ὑπῆρχε καὶ ἐκεῖνος, ὁποῖοι ἦσαν οἱ ἄνθρωποι, οὓς ἠγάπησεν καὶ ἐτίμησεν καὶ ἐκοπίασεν εἰς τὸ διηγηθῆναι καὶ γράψαι τὰ ἔργα αὐτῶν καὶ τὰ προτερήματα. καὶ τοῦτο ποιεῖ αὐτὸν ἔχειν δόξαν ἀθάνατον εἰς τοὺς μετέπειτα πάντας ἀνθρώπους ὥσπερ καὶ ἐκείνους, οἵτινες ἐποίησαν τὰ μεγάλα καὶ θαυμαστὰ κατορθώματα. αὗται γοῦν αἱ τρεῖς αἰτίαι ὑπάρχουσιν ὥσπερ λέγει οὗτος, δι' ἅστινας ἦλθεν εἰς τὸ γράψαι τὴν ἱστορίαν τῆς Ῥώμης καὶ τῶν Ῥωμάνων. καὶ περὶ μὲν τῶν δύο τούτων αἰτιῶν τῶν τελευταίων λέγει ταῦτα ἅπερ εἴπομεν καὶ ἕτερα, ὅσα ἐφάνησαν αὐτῷ ἀρκετὰ εἰς τὴν ἀρχὴν τοῦ βιβλίου, περὶ δὲ τῆς πρώτης αἰτίας, δι' ἧς βούλεται ἵνα ἐκβάλλῃ τοὺς

10 διατοῦτο codd. 24 διάστινας codd. 25 ῥωμαίων V.

„Ελληνας ἀπὸ τῆς πεπλανημένης ὑποψίας ἥντινα εἶχον περὶ τῶν Ῥωμάνων, ποιεῖται μέγαν καὶ πολὺν λόγον καὶ μεγάλας καὶ πολλὰς ἀποδείξεις ἀπὸ παλαιῶν ἱστοριῶν ἑλλήνων, δι' ὧν ἀποδεικνύει, ὅτι τῶν Ῥωμάνων τὸ γένος ὑπῆρχε γένος ἑλληνικόν. τοῦτο γὰρ ἔχει περὶ πολλοῦ ἵνα ἀποδείξῃ, ἀλλοτρόπως γὰρ οὐδὲν δύναται ἵνα ἐκβάλλῃ τὴν βαρβαρότητα ἀπὸ τοῦ γένους τῶν Ῥωμάνων.

λ'. πρῶτος στόλος Ἑλλήνων εἰς Ἰταλίαν, ὃν ἤγαγεν Οἴνωτρος.

λέγει γοῦν πῶς πρῶτον ἀπὸ τῆς Πελοποννήσου ἤγουν ἀπὸ τοῦ νῦν καλουμένου Μορέως ἀπὸ τῆς Ἀρκαδίας ἐξῆλθέν τις ὀνόματι Οἴνωτρος μετὰ στόλου μεγάλου καὶ κατῴκησεν εἰς τὰ μέρη ταῦτα, ἐν οἷς ἐκτίσθη ὕστερον ἡ Ῥώμη. καὶ ἐκλήθησαν οἱ ἄνθρωποι ἐκεῖνοι Οἴνωτροι καὶ ἡ χώρα ὅλη Οἰνωτρία ἀπὸ τοῦ ὀνόματος τούτου τοῦ Οἰνώτρου.

λα'. δεύτερος στόλος ἑλληνικὸς εἰς Ἰταλίαν τῶν καλουμένων Πελασγῶν.

δεύτερος στόλος ἑλληνικὸς ἐξῆλθεν ἀπὸ τῆς Πελοποννήσου πάλιν καὶ κατῴκησεν εἰς τὴν Θετταλίαν. Θετταλία δὲ λέγεται τὰ μέρη τῆς Θεσσαλονίκης τῆς Λαρίσσης, ἥτις καὶ Μακεδονία λέγεται. καὶ ἀπὸ τῆς Θετταλίας διεπέρασαν τὸν Ἰόνιον κόλπον, ὃν καλοῦσι νῦν κόλπον τῆς Βενετίας, καὶ ἀπῆλθον εἰς τὰ μέρη ταῦτα τῆς Ῥώμης καὶ ἐμίγησαν μετὰ τῶν Οἰνώτρων. ἐλέγοντο δὲ οἱ Ἕλληνες οὗτοι Πελασγοὶ ἀπὸ τοῦ ὀνόματος τοῦ βασιλέως αὐτῶν Πελασγοῦ.

λβ'. τρίτος στόλος ἑλληνικὸς εἰς Ἰταλίαν, ὃν ἤγαγεν Εὔανδρος.

τρίτος στόλος ἑλληνικὸς ἀπῆλθεν εἰς Ἰταλίαν καὶ οὗτος ἀπὸ τῆς Ἀρκαδίας ἀπὸ πόλεως Παλλαντίου ὀνομαζομένου. ταύτης γὰρ τῆς πόλεως ὁ λαὸς ἐστασίασεν καὶ ἐμερίσθη εἰς δύο. τὸ γοῦν ἓν μέρος μὴ ὑπομεῖναν τὴν καταφρόνησιν

2 ῥωμαίων V. 5. 6 ἵνα — οὐδὲν om. in textu Vat., add. in fine pag. man. rec. λα'. ἰταλίαν Vat. ubique. 18 ἵτις Vat. 26 παλαντίου codd.

τοῦ ἑτέρου ἐποίησαν ἡγεμόνα καὶ ἀρχηγὸν Εὔανδρόν τινα ὀνόματι καὶ ποιήσαντες πλοῖα διεπέρασαν καὶ οὗτοι εἰς τὴν Ἰταλίαν εἰς τὰ μέρη ταῦτα τῆς Ῥώμης καὶ κατῴκησαν ἐκεῖ μετὰ τῶν Οἰνώτρων καὶ τῶν Πελασγῶν ἑλληνικῶν ἐθνῶν περὶ ὧν εἴπομεν. κατῴκησαν δὲ οὗτοι εἰς τὸν Τίβεριν ποταμόν, ὅστις ῥέει σήμερον διὰ μέσης τῆς Ῥώμης.

λγ'. τέταρτος στόλος ἑλληνικὸς εἰς Ἰταλίαν, ὃν ἤγαγεν Ἡρακλῆς.

τέταρτος στόλος ἑλληνικὸς ἀπῆλθεν εἰς Ἰταλίαν ἀπὸ τῆς Πελοποννήσου ἀπὸ τῆς πόλεως ἥτις λέγεται Ἄργος. ἔστι δὲ τὸ Ἄργος πόλις εἰς τὴν Πελοπόνησον, ἥντινα ἔχουσι σήμερον οἱ Βενέτικοι. ὅντινα στόλον ἀπήγαγεν εἰς τὰ μέρη ἐκεῖνα τῆς Ἰταλίας ὁ Ἡρακλῆς. Ἡρακλῆς δέ ἐστιν ὅντινα λέγουσιν οἱ Λατῖνοι Ἕρκουλα· οὗτος γὰρ ὁ Ἡρακλῆς βασιλεὺς ὢν μέγας καὶ δυνατὸς σοφός τε καὶ δίκαιος καὶ ἀνδρεῖος καὶ ἀγαθὸς καὶ εἰς πάντα προμηθευτικώτατος, ὅστις καὶ διὰ τὰς ἀρετὰς καὶ τὰς χάριτας ἅστινας εἶχεν ἐλέγετο υἱὸς τοῦ Διὸς καὶ θεός —

λδ'. διὰ τίνα αἰτίαν ἀπῆλθεν ὁ Ἡρακλῆς μέχρι τοῦ ἄκρου τῆς γῆς.

οὗτος οὖν ὁ Ἡρακλῆς ἐποίησε στόλον μέγαν καὶ ἀπῆλθε εἰς τὰ μέρη ἐκεῖνα τοῦ ἄκρου τῆς γῆς ἤγουν εἰς τὸ κάτω στενόν, ὅπερ λέγουσιν οἱ Λατῖνοι Στρέτο Ζουμπλῖτα. εἰς τοῦ στενοῦ γὰρ τούτου τὸ στόμα ἐστὶ τὸ τέλος τῆς δυσικῆς γῆς. ἀπῆλθε γοῦν ἐπὶ σκοπῷ ὅτι τοὺς βασιλεῖς καὶ τοὺς ἄρχοντας τῶν τόπων ἐκείνων, οἵτινες ἦσαν κακότροποι καὶ ὀχλικοὶ καὶ ἄδικοι, ἵνα ἐκβάλῃ ἀπὸ τῆς βασιλείας αὐτῶν καὶ δώσῃ αὐτὰς πρὸς ἄλλους καλοὺς καὶ ἀγαθοὺς καὶ ἡμέρους καὶ δικαίους βασιλεῖς. καὶ ἐποίησεν οὕτως καὶ ἡμέρωσεν τὸν κόσμον ἐκεῖνον ὅλον. ὅταν γοῦν ἀπῆλθε μέχρι τοῦ ἄκρου

2 διεπεράσαν codd. 15 καὶ ἀνδρεῖος καὶ δίκαιος V. 23 ἐπισκοπῶ Vat. 25 ὀχληκοί codd. ἐκβάλλη V. 26 δόση Vat.

τῆς γῆς, ἐκεῖ ἔστησεν δύο κιόνας καὶ ἐπάνω αὐτῶν δύο στήλας ἤως εἰκόνας χαλκᾶς αὐτοῦ εἰς μνήμην καὶ ἐνθύμησιν τοῦ πράγματος, ἅστινας στήλας τοῦ Ηρακλέους λέγουσιν, οἱ Λατῖνοι κολῶναι Ἑρκούλεε. ἀναστρέφων γοῦν ὁ Ἡρακλῆς ἦλθεν εἰς τὸν Τίβεριν ποταμὸν καὶ ἐκεῖ ὑπήντησαν αὐτῷ οἱ κατοικοῦντες τὰ μέρη ἐκεῖνα Ἕλληνες οὓς προείπομεν καὶ ἐτίμησαν αὐτὸν ὡς θεὸν καὶ ἐποίησαν αὐτῷ καὶ ναὸν καὶ ἐποίησαν καὶ θυσίαν αὐτῷ ὥσπερ θεῷ διὰ τὰ ἔργα ἅπερ ἐποίησεν. πολλοὶ γοῦν τῶν Ἑλλήνων τῶν μετ' αὐτοῦ ἰδόντες τὴν γῆν καλὴν καὶ λιπαρὰν καὶ τοὺς Ἕλληνας τοὺς κατοικοῦντας ἐκεῖ παρεκάλεσαν τὸν Ἡρακλέα, ἵνα ἀφήσῃ αὐτοὺς κατοικῆσαι εἰς τὸν τόπον ἐκεῖνον μετὰ τῶν ἐντοπίων Ἑλλήνων. καὶ γὰρ ἦσαν καὶ ἀπὸ τοῦ κόπου καὶ τῆς στρατείας καὶ τῶν πολέμων οἱ πλείονες ἀσθενεῖς καὶ ἀδύνατοι καὶ οὐκ ἠδύναντο κοπιᾶν πάλιν καὶ ὑποστρέφειν τοσοῦτον τόπον. ἀκούσας οὖν ὁ Ἡρακλῆς τὴν παράκλησιν αὐτῶν ἀφῆκεν πολλοὺς εἰς τὸν τόπον τοῦτον, αὐτὸς δὲ μετὰ τῶν λοιπῶν ὑπέστρεφεν εἰς τὸ Ἄργος. οὗτοι δὲ οἱ τοῦ Ἡρακλέους Ἕλληνες κατοικίζονται εἰς ἕνα λόφον ἤγουν εἰς βουνίον μικρόν, ὃς τότε ἐλέγετο Σατόρνιος ἀπὸ τοῦ ὀνόματος τοῦ θεοῦ τοῦ Σατούρνου, ὅντινα λέγουσιν οἱ Ἕλληνες Κρόνον, Λατῖνοι δὲ Σατοῦρνον. νῦν δὲ ὁ λόφος ἐκεῖνος λέγεται Καπιτωλῖνος καί ἐστι σήμερον ἐντὸς τῆς Ῥώμης. Καπιτωλῖνος δὲ ὠνομάσθη ἀπὸ αἰτίας τοιαύτης. εἰς τὸν μετὰ ταῦτα καιρὸν ἀφ' οὗ ἐκτίσθη καὶ οἰκίσθη ἡ Ῥώμη, ἐγένετο ἐν αὐτῇ μετὰ πολλοὺς

λε'. πῶς ἐτιμήθη ὁ Ἡρακλῆς ὡς θεός.

λϛ'. ὅτι οἱ καταλειφθέντες εἰς Ἰταλίαν ὑπὸ Ἡρακλέους Ἕλληνες εἰς τὸν λεγόμενον Σατόρνιον, ὕστερον δὲ Καπιτωλῖνον κατῴκησαν λόφον.

2 ἤγουν V. 12 κατικοῦντας Vat. 22 σαντόρνιος Vat. 27 marg. adscr. πόθεν ὠνομάσθη καπιτωλῖνος V.

λζ'. ὅτι ἀπὸ τῆς κεφαλῆς ἥτις εὑρέθη ἐν τῷ λόφῳ τούτῳ κτιζομένου τοῦ ναοῦ, ὑπὸ τὸν ἔγγονα τοῦ Ταρκυνίου ὁ λόφος ἐκλήθη Καπιτωλῖνος.

βασιλεῖς εἷς βασιλεὺς ὀνόματι Ταρκύνιος. οὗτος εἶχε πόλεμον μετὰ τῶν κύκλῳ τῆς Ῥώμης ἐθνῶν. ὅταν οὖν ἦλθεν εἰς τοῦτο, ὅτι ὑπῆρχεν ἀνάγκη ἵνα μίξωσι τὰ στρατεύματα, ἐφοβήθη καὶ ἐδειλίασεν. ηὔξατο γοῦν, ὅτι ἐὰν νικήσῃ τὸν πόλεμον ἐκεῖνον, ἵνα ποιήσῃ βωμὸν καὶ ναὸν μέγαν καὶ περικαλῆ τῷ θεῷ αὐτοῦ τῷ Διί, ὅστις καὶ Ζεὺς λέγεται, λατινικῶς δὲ Γιούμπιτερ. ἐνίκησε τὸν πόλεμον γοῦν ὁ Ταρκύνιος καὶ ἤρξατο ποιεῖν τὸν ναὸν τοῦτον εἰς τὸν λόφον τοῦτον, ὃς ἐλέγετο τότε Σατόρνιος, οὐκ ἔφθασε δὲ θεμελιῶσαι τοῦτον καὶ ἀπέθανε. ὁ δὲ ἔγγονος αὐτοῦ μετὰ πολλοὺς χρόνους ἤρξατο τελειῶσαι τὸ ἔργον τοῦ πάππου αὐτοῦ. σκαπτόντων γοῦν τῶν ἀνθρώπων τὰ θεμέλια εὑρέθη ὑποκάτω τῆς γῆς κεφαλὴ ἀνθρώπου κεκομμένη ῥέουσα θερμὸν αἷμα καὶ πολύ, ὅπερ ἰδόντες οἱ ἄνθρωποι ἐξεπλάγησαν καὶ ἐφοβήθησαν καὶ ἀπήγγειλαν τοῦτο πρὸς τὸν βασιλέα Ταρκύνιον. ὁ δὲ συνάξας τοὺς βουλευτὰς αὐτοῦ καὶ τοὺς μάντεις καὶ τοὺς σοφοὺς αὐτοῦ καὶ τοὺς ἱερεῖς ἀπῆλθε μετὰ φόβου μεγάλου καὶ τρόμου καὶ εἶδεν τὸ τέρας τοῦτο τὸ παράδοξον. ἐρωτᾷ γοῦν τοὺς μάντεις, τί ἄρα σημαίνει τὸ σημεῖον τοῦτο τὸ παράδοξον καὶ φοβερόν. οἱ δὲ εἶπον ὅτι αὐτοὶ μὲν οὐ δύνανται εἰπεῖν περὶ τούτου τι· ὑπερβαίνει γὰρ καὶ τὴν τέχνην καὶ τὴν σοφίαν αὐτῶν τὸ σημεῖον τοῦτο. συμβουλεύουσι δὲ τῷ βασιλεῖ, ἵνα ἀποστείλῃ πρέσβεις ἤγουν ἀποκρισιαρίους εἰς τὴν Τυῤῥηνίαν. Τυῤῥηνία δὲ ἐκαλεῖτο τότε ὁ ἀπὸ τῆς

λζ'. ἔγκονα codd. τοῦ ante Ταρκυνίου deest Vat. 5 ἐδειλίασε Vat. 17 ἐξάπλάγησαν Vat. 18 ὁδὸν pro ὁ δὲ Vat. 22. 23 σημένει Vat. 23. 24 οἱδὸν pro οἱ δὲ Vat.

Ῥώμης εἰς τὰ κάτω μέρη αἰγιαλός. ὑπῆρχε ἄλλη βασιλεία τότε ἰδία, μεγάλη καὶ ἰσχυροτέρα παρὸ τὴν βασιλείαν τῆς Ῥώμης τῷ καιρῷ ἐκείνῳ. ἐκεῖ γοῦν ἔλεγον οἱ μάντεις, ὅτι ἔστι μέγας καὶ θαυμάσιος μάντις, ὅστις δύναται λύειν καὶ διασαφεῖν, τί βούλεται τὸ σημεῖον τοῦτο, ἄλλος δὲ οὐδείς. ἐποίησε τοῦτο ὁ βασιλεὺς καὶ ἀπέστειλε πρεσβευτὰς πρὸς τὸν μάντιν ἐκεῖνον. ἀκούσας δὲ ὁ μάντις παρὰ τῶν πρέσβεων τὸ σημεῖον τοῦτο ἐνόησε, ὅτι εἰς μέγα ἀγαθὸν τῆς Ῥώμης ἐγένετο τὸ σημεῖον τοῦτο καὶ ἐβούλετο εἰπεῖν ἄλλην λύσιν καὶ ἐξήγησιν παρὸ τὴν ἀληθινὴν εἰς αὐτούς. οὗτοι δὲ παρεκάλουν αὐτόν, ἵνα εἴπῃ αὐτοῖς πᾶσαν τὴν ἀλήθειαν καὶ μὴ παραλογίσηται αὐτοὺς καὶ εἴπῃ ἄλλα ἀντὶ ἄλλων. νικηθεὶς οὖν ὁ μάντις ὑπὸ τῶν παρακλήσεων εἶπε πρὸς αὐτούς· ἀπέλθατε ἄνδρες Ῥωμαῖοι καὶ εἴπατε τῷ βασιλεῖ ὑμῶν καὶ πᾶσι τοῖς Ῥωμαίοις, ὅτι πρόκειται ἵνα γένηται κεφαλὴ τοῦ κόσμου ὅλου ὁ τόπος ἐκεῖνος ἐν ᾧ εὑρέθη ἡ κεφαλὴ αὕτη, πλὴν διὰ πολέμων καὶ σφαγῶν καὶ αἱμάτων πολλῶν. ταῦτα ἀκούσαντες οἱ πρέσβεις ἀπήγγειλαν τῷ βασιλεῖ καὶ τοῖς Ῥωμαίοις πᾶσι μετὰ χαρᾶς μεγάλης καὶ ὁ βασιλεὺς μετὰ σπουδῆς ἐποίησεν τὸν ναὸν τοῦ Διός. ἀπὸ τότε ἐκλήθη ὁ λόφος ἐκεῖνος Καπιτωλῖνος ἤγουν τόπος τῆς κεφαλῆς· κάπιτα γὰρ οἱ Ῥωμαῖοι λέγουσι τὰς κεφαλάς. ἀπὸ τούτου τοῦ πράγματος ἐποίησαν οἱ ὕστερον βασιλεῖς μονῆταν ἤγουν τὴν ἰδιωτικῶς λεγομένην στάμπαν, δι' ἧς ἐχάρασσαν νομίσματα εἰς τὴν Ῥώμην ἔχοντα ἐπιγραφήν· Ῥούμα κάπουτ μούντη, ἤγουν

λη'. ἀπόφασις τοῦ μάντεως περὶ τῆς εὑρεθείσης κεφαλῆς ἐν τῷ Σατορνίῳ λόφῳ ἐν τοῖς θεμελίοις τοῦ κτιζομένου ναοῦ.

13 παραλογήσηται codd. λη'. εὑρεθούσης V. 27 μονίταν codd.

Ῥώμη κεφαλὴ τοῦ κόσμου, κατὰ τὴν ἀπόφασιν τοῦ μάντεως. οὗτος ὁ λόφος, καθὼς λέγει οὗτος ὁ Διονύσιος, ἐλέγετο πρῶτον Σατόρνιος ὥσπερ εἴπομεν, ὕστερον ὠνομάσθη Ταρπήιος ἀπὸ ἄλλης αἰτίας, ἥντινα διὰ τὸ μῆκος οὐδὲν γράφω, ἀπὸ γυναικὸς Ταρπηίας ὀνομαζομένης, τελευταῖον δὲ διὰ τὴν αἰτίαν ταύτην ἐκλήθη Καπιτωλῖνος. ἵνα δὲ ἔλθωμεν εἰς τὸ πρῶτον ἀφ' οὗ ἐξέβημεν, πρὸ τοῦ κτισθῆναι τὴν Ῥώμην καὶ γενέσθαι ταῦτα οἱ Ἕλληνες, οἵτινες κατελείφθησαν ὑπὸ τοῦ Ἡρακλέους ὡς εἴπομεν εἰς τὴν Ἰταλίαν, ἐποιήσαντο τὴν κατοίκησιν εἰς τὸν λόφον τοῦτον τὸν τότε λεγόμενον Σατόρνιον, ὥστε τετράκις καθὼς ἔδειξεν ὁ Διονύσιος ἀπῆλθον οἱ Ἕλληνες ἤγουν ἑλληνικὰ γένη εἰς τὴν κατοικίαν τῆς Ἰταλίας καὶ τὰ μέρη τῆς Ῥώμης. τοῦτον δὲ ὅλον λέγει, ἵνα δείξῃ ὅτι τὰ ἔθνη ἐκεῖνα ὅλα τὰ περὶ τὸν τόπον τῆς Ῥώμης ἦσαν ἑλληνικά, ἵνα ἐκβάλλῃ ἀπὸ τῆς διανοίας τῶν Ἑλλήνων, ὅτι ἦσαν ἔθνη βαρβαρικὰ τὰ πρὸ τῆς κτίσεως τῆς Ῥώμης κατοικοῦντα ἐκεῖ. ἀλλὰ ταῦτα μὲν γινώσκει καὶ οὗτος, ὅτι πράγματά εἰσιν ἀρχαῖα καὶ παλαιὰ καὶ ὀλίγοι τινὲς γινώσκουσι ταῦτα.

λθ'. ὅτι ὁ λόφος οὗτος καὶ ἀπὸ γυναικὸς Ταρπηίας ἥτις παρέδωκε τὸ ἐν αὐτῷ φρούριον τοῖς Σαβίνοις Ταρπήιος ὠνομάσθη.

τὸ δὲ φανερὸν καὶ καθαρὸν ὑπάρχει, ὅτι ἡ Ῥώμη ἐκτίσθη ὑπὸ τῶν ἀπογόνων τοῦ Αἰνείου. ὁ δὲ Αἰνείας ὑπῆρχεν εἷς ἐκ τῶν ἀρχόντων τῆς Τρωάδος. καὶ ὅταν ἐκρατήθη ὑπὸ τῶν Ἑλλήνων ἡ Τρωάς, ἔφυγεν καὶ ἀπῆλθεν εἰς τὴν Ἰταλίαν καὶ ἐκεῖ ἔκτισεν τὸ Λαιούνιον καὶ μετὰ καιροὺς οἱ ἀπόγονοι αὐτοῦ ἔκτισαν καὶ οἴκισαν τὴν

μ'. ὅτι τὸ φανερὸν καὶ ὁμολογούμενον ἡ Ῥώμη ἀπὸ τῶν ἀπογόνων τῶν Τρώων ἐκτίσθη καὶ οἰκίσθη.

1. 2 κατὰ — μάντεως desunt V. 4 ὀνομάσθη Vat. 10. 11 κατελήφθησαν codd. 17 ὅλλα codd.

Ῥώμην. ἐπεὶ γοῦν τοῦτό ἐστι φανερὸν καὶ ὁμολογούμενον, οἱ δὲ Ἕλληνες εἶχον τοὺς Τρῶας ὡς βαρβάρους, τῶν δὲ βαρβάρων τὰ ἀπόγονα ἐξ ἀνάγκης εἰσὶ βάρβαροι, καὶ οὕτως εὑρίσκεται, ὅτι καὶ οἱ Ῥωμᾶνοι οἱ κτίσαντες τὴν Ῥώμην εἰσὶν βαρβάρων ἀπόγονοι καί εἰσι καὶ αὐτοὶ βάρβαροι, διὰ τοῦτο βιάζεται καὶ ἀναγκάζεται ἵνα δείξῃ, ὅτι καὶ τῶν Τρώων τὸ γένος οὐχ ὑπῆρχε βάρβαρον, ἀλλὰ ἑλληνικὸν καὶ καλὸν καὶ ἔντιμον καὶ ἐκλεκτόν. εἰς τὴν ἀπόδειξιν γοῦν ταύτην μνημονεύει καὶ τῆς νήσου τῆς Σαμοθράκης, δι' ἥντινα ἤλθομεν καὶ εἰς τοὺς λόγους τούτους. εἰ δὲ λέγοι τις, πῶς οἱ Ἕλληνες εἶχον τοὺς Τρῶας ὡς βαρβάρους, ἐπειδὴ μίαν πίστιν εἶχον καὶ τοὺς αὐτοὺς θεοὺς προσεκύνουν καὶ ἐσέβοντο, λέγομεν ὅτι τὸ βάρβαρον οὐδὲν νοεῖται περὶ τῆς πίστεως, ἀλλὰ νοεῖται διὰ τὸ γένος καὶ τὴν γλῶτταν καὶ τὴν τάξιν τῆς πολιτείας καὶ τὴν παίδευσιν. ἡμεῖς γὰρ Χριστιανοὶ ὄντες καὶ μίαν πίστιν ἔχοντες καὶ ἓν βάπτισμα μετὰ πολλῶν ἐθνῶν ὅμως βαρβάρους ἔχομεν καὶ λέγομεν τοὺς Βουλγάρους τοὺς Βλάχους τοὺς Ἀλβανίτας τοὺς Ῥούσους καὶ καθεξῆς τὰ ἄλλα ἔθνη. οὕτω καὶ οἱ Ἕλληνες μίαν πίστιν ἔχοντες μετὰ τῶν ἐθνῶν ὅμως πάντας ὅσοι ἦσαν ἔξω τοῦ γένους αὐτῶν καὶ τῆς γλώσσης τῆς ἑλληνικῆς ἐκάλουν βαρβάρους. λέγει γοῦν ὁ Διονύσιος περὶ τοῦ γένους τῶν Τρώων οὕτως. ὅτι δὲ καὶ τὸ γένος τῶν Τρώων ὑπῆρχεν ἑλληνικὸν καὶ οἱ τῆς Τρωάδος ἄνθρωποι ἦσαν ἀπόγονοι τῶν Ἑλλήνων τῶν ἐξελθόντων ἀπὸ τῆς Πελοπονήσου καὶ κατοικησάντων εἰς τὸν

μα'. ὅτι ὁ βαρβαρισμὸς διὰ τὸ γένος καὶ τὴν γλῶσσαν λέγεται. οὐ διὰ τὴν πίστιν

μβ'. ἀπόδειξις ὅτι καὶ τῶν Τρώων τὸ γένος ἑλληνικὸν ἦν.

19 *πωλλῶν* Vat. *μβ'. ἦν* pro *ἦν* Vat.

τόπον τοῦτον πρὸ τοῦ κτισθῆναι ἐν αὐτῷ τὴν Τρωάδα, εἶπον τοῦτο καὶ ἄλλοι πρὸ ἐμοῦ χρονικοὶ καὶ ἱστορικοὶ ἕλληνες· ὅμως βούλομαι καὶ ἐγὼ εἰπεῖν τι περὶ

μγ'. περὶ Ἄτλαντος τοῦ βασιλέως τῆς Ἀρκαδίας καὶ τῶν θυγατέρων αὐτοῦ.

τούτου δι' ὀλίγων λόγων. ἔστι δὲ ἅτινα βούλεται εἰπεῖν ὁ Διονύσιος περὶ τούτου ταῦτα· ἐντὸς τῆς Πελοπονήσου, ὅντινα εἴπομεν ὅτι καλεῖται σήμερον Μορέας, ἔστι τόπος λεγόμενος Ἀρκαδία μέχρι καὶ σήμερον. εἰς ταύτην τὴν Ἀρκαδίαν εἰς τὸ παλαιὸν ἐγένετο πρῶτος βασιλεὺς εἷς ἄνθρωπος Ἄτλας λεγόμενος. εἶχε γοῦν τὴν κατοικίαν αὐτοῦ εἰς ἓν ὄρος ἤως βουνίον τῆς Ἀρκαδίας ὀνομαζόμενον Καυκάσιον. οὗτος ὁ βασιλεὺς εἶχε γυναῖκα ὀνόματι Πληόνην. ἐκ ταύτης τῆς γυναικὸς ἐποίησε θυγατέρας ἑπτά, αἵτινες εἶχον ὀνόματα μία ἑκάστη ἓν ταῦτα· Μαῖα Ταυγέτη Κελαινὼ Μερόπη Στερόπη Ἀλκυόνη Ἠλέκτρα. καὶ τὰ μὲν ἴδια αὐτῶν ὀνόματα ἦσαν ταῦτα, εἶχον δὲ καὶ ἓν κοινὸν ὄνομα πᾶσαι ἀπὸ τῆς μητρὸς αὐτῶν τῆς Πληόνης Πλειάδες. ἐκ τούτων τῶν ἑπτὰ ὡς φλυαροῦσιν οἱ Ἕλληνες, καὶ γὰρ τοιούτους θεοὺς εἶχον πόρνους καὶ ἀσελγεῖς, ἠγάπησεν ὁ Ζεὺς τὴν Ἠλέκτραν καὶ εἶχεν αὐτὴν ὡς γυναῖκα. αἱ δὲ ἓξ αἱ ἄλλαι ἀδελφαὶ ἠγάπησαν τὴν παρθενίαν καὶ τὴν σωφροσύνην καὶ οὐδὲν ἔλαβον ἄνδρας.

μδ'. ὅπως ὁ Ζεὺς ἐποίησεν τὰς θυγατέρας τοῦ Ἄτλαντος ἀστέρας.

ὁ Ζεὺς δὲ ἐθαύμασε καὶ ἐπήνεσε τὴν ἀρετὴν αὐτῶν. ἵνα γοῦν τιμήσῃ καὶ δοξάσῃ αὐτὰς καὶ ποιήσῃ ἀθανάτους, ἐποίησεν αὐτὰς ἀστέρας καὶ ἔθηκεν εἰς τὸν οὐρανόν. μετὰ δὲ ταῦτα ἐποίησε καὶ τὴν Ἠλέκτραν τὴν ἑαυτοῦ γυναῖκα ἀστέρα,

2 ἰμοῦ Vat. μγ'. ἑπτὰ θυγατέρων V. 11 ἤγουν pro ἤως V. 17 ἦχον codd. μδ'. ἐπίεσεν Vat. 24 ἐπήνησε Vat.

διότι οὐκ ἠθέλησε χωρισθῆναι τῶν ἀδελφῶν αὐτῆς τῶν ἓξ εἰς τὸν οὐρανόν. ὕστερον δὲ ἐπειδὴ ἔμαθεν παρὰ τοῦ Διὸς ἡ Ἠλέκτρα, ὅτι ἡ πόλις τῆς Τρωάδος, ἥτις ἐκτίσθη ὑπὸ τῶν ἀπογόνων αὐτῆς τῆς Ἠλέκτρας καθὼς μέλλομεν εἰπεῖν παρακατιόντες, μέλλει χαλασθῆναι καὶ αἰχμαλωτισθῆναι ὑπὸ στόλου ἑλληνικοῦ διὰ τὴν Ἑλένην τοῦ Μενελάου, ἵνα μὴ ἴδῃ τὸ πάθος τοῦτο ἀπὸ τοῦ τόπου τοῦ ὑψηλοῦ τοῦ οὐρανοῦ ἔνθα ἵστατο μετὰ τῶν ἀδελφῶν αὐτῆς, ἀφῆκεν τὰς ἀδελφὰς αὐτῆς καὶ ἔφυγε. ὑπέμειναν γοῦν αἱ ἓξ ἀδελφαὶ καὶ μένουσιν εἰς τὸν οὐρανὸν εἰς τὸν τόπον ὃν ἐτέθησαν ἐξ ἀρχῆς παρὰ τοῦ Διός, αἵτινές εἰσι τὸ λεγόμενον ἑξάστερον, ὅπερ λέγεται καὶ πελειάς, ὃ καὶ βαρβαρίζοντες οἱ κοινοὶ ἄνθρωποι λέγουσι πουλίαν. καὶ ὁ μὲν περὶ τῶν Πληάδων τῶν ἀδελφῶν τῆς Ἠλέκτρας μῦθός ἐστιν οὗτος, ἐτέθη δὲ διὰ εὐθυμίαν. ἐπανερχόμεθα δὲ ὅμως εἰς τὴν ἱστορίαν. ὁ οὖν Ζεὺς ὡς προείπομεν μιγεὶς μετὰ τῆς Ἠλέκτρας τῆς θυγατρὸς τοῦ Ἄτλαντος τοῦ βασιλέως τῆς Ἀρκαδίας γεννᾷ ἐξ αὐτῆς δύο υἱούς, τὸν Ἴασον καὶ τὸν Δάρδανον. ὁ γοῦν Ἴασος οὐκ ἔλαβε γυναῖκα, ἀλλ' ἐτίμα καὶ ἐφύλαττε τὴν παρθενίαν, ὁ δὲ Δάρδανος ἔλαβε γυναῖκα θυγατέρα ἑνὸς ἄρχοντος Πάλλαντος λεγομένου ὀνόματι Χρύσην. ἐκ ταύτης οὖν τῆς Χρύσης γεννᾷ ὁ Δάρδανος δύο υἱούς, τὸν Ἰδαῖον καὶ τὸν Δείμαντα. ὁ Ἴασος γοῦν καὶ ὁ Δάρδανος καὶ οἱ δύο ἀδελφοὶ ὁ Ἰδαῖος καὶ ὁ Δείμας οἱ υἱοὶ τοῦ Δαρδάνου ἀποθανόντος τοῦ Ἄτλαντος τοῦ βασιλέως

με'. ὅτι τὸ λεγόμενον ἑξάστερον ἢ καὶ πουλία λέγεται αἱ θυγατέρες τοῦ Ἄτλαντός εἰσι κατὰ τὸν μῦθον.

μϛ'. γενεαλογία τοῦ Δαρδάνου καὶ τῶν υἱῶν αὐτοῦ.

5 μέλλωμεν Vat. με'. καὶ pro αἱ Vat. 22 οὖν pro γοῦν V. 24 πάλαντος codd. 28 δήμας codd.

τῆς Ἀρκαδίας παρέλαβον τὴν βασιλείαν αὐτοῦ ὡς πατρικὴν καὶ γονικὴν καὶ ἐβασίλευον εἰς τὴν Ἀρκαδίαν. μετὰ ταῦτα ἐγένετο κατακλυσμὸς μέγας εἰς τὴν Ἀρκαδίαν καὶ τὰ πεδία πάντα ἤγουν οἱ κάμποι ὅλοι ἀπὸ τῆς πλησμονῆς τοῦ ὕδατος ἐγένοντο ὥσπερ λίμνη μία. οἱ δὲ ἄνθρωποι διὰ τὸν φόβον τοῦ κατακλυσμοῦ ἀνέβησαν εἰς τὰ ὑψηλὰ ὄρη καὶ ἐκαθέζοντο. παρήλθοσαν γοῦν καιροὶ πολλοὶ καὶ οἱ κάμποι ἦσαν ἀργοὶ καὶ ἄχρηστοι εἰς γεωργίας διὰ τὴν πλησμονὴν τοῦ ὕδατος, οἱ δὲ ἄνθρωποι ἐστενοχωροῦντο ὑπὸ τῆς τροφῆς καθήμενοι εἰς τὰ ὄρη. τῶν γὰρ βουνῶν ἡ ὑψηλὴ γῆ ὀλίγη ὑπῆρχε καὶ ἐκείνη πετρώδης καὶ ὀλιγόκαρπος καὶ οὐκ ἠδύνατο τρέφειν τοσούτους ἀνθρώπους. διὰ γοῦν τὴν ἀνάγκην ταύτην καὶ ἵνα μὴ πάντες ὁμοῦ ἀποθάνωσιν ὑπὸ τοῦ λιμοῦ, συμβουλεύονται μετ' ἀλλήλων καὶ ποιοῦσιν ἑαυτοὺς εἰς μοίρας δύο. καὶ ἡ μὲν μία μοῖρα ὑπομένει ἐκεῖ εἰς τὴν Ἀρκαδίαν καὶ ἔστησαν βασιλέα ἑαυτῶν καὶ τῆς Ἀρκαδίας τὸν ἕνα υἱὸν τοῦ Δαρδάνου τὸν Δείμαντα, τὴν δὲ ἄλλην μοῖραν τοῦ λαοῦ καὶ τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἴασον καὶ τὸν υἱὸν αὐτοῦ τὸν Ἰδαῖον λαμβάνει ὁ Δάρδανος καὶ ποιεῖ στόλον ἱκανὸν καὶ ἐξέρχεται ἀπὸ τῆς Ἀρκαδίας καὶ παραπλέει τὴν Εὐρώπην ἤγουν λαμβάνει τὸν αἰγιαλὸν τῆς δύσεως καὶ ἔρχεται εἰς τὰ μέρη τῆς Θρᾴκης πλησίον τοῦ Μέλανος κόλπου καὶ καταντᾷ εἰς ἓν νησίον τῆς Θρᾴκης. ἵνα δὲ δηλώσωμεν τίς ἐστιν ἡ Εὐρώπη καὶ τίς ἐστιν ἡ Θρᾴκη, ἥστινος

μζ΄. περὶ τοῦ μεγάλου κατακλυσμοῦ ὅστις ἐγένετο εἰς τὴν Ἀρκαδίαν καὶ ὅπως ἔφυγον ἐκεῖθεν οἱ Ἀρκάδες διὰ στέρευσιν τῆς τροφῆς.

μζ΄. κατὰ κλυσμοῦ Vat. 4 et 24 ἕως in textu, ἤγουν in margine Vat. ἤγουν T.

Θράκης ἐστὶν ἡ νῆσος εἰς ἥντινα κατήντησαν ὁ ἀρκαδικὸς στόλος, ὁ περὶ τῆς ἱστορίας λόγος μικρὸν ἀναμεινάτω.

μη'. περὶ τῆς διαιρέσεως τῆς ὅλης γῆς εἰς Ἀσίαν καὶ Λιβύην καὶ Εὐρώπην.

οἱ ἀρχαῖοι ἱστορικοὶ καὶ γεωγράφοι τὴν γῆν ὅλην μερίζουσιν μετὰ λογισμοῦ καὶ διανοίας εἰς τρία μέρη. καὶ τὸ μὲν ἓν μέρος λέγουσιν Ἀσίαν, τὸ δὲ ἕτερον Εὐρώπην, τὸ δὲ τρίτον Λιβύην καὶ Ἀφρικήν· ἔχει γὰρ τοῦτο τὸ μέρος δύο ὀνόματα. ἔστι γοῦν Ἀσία ὡς μέν τινες γεωγράφοι λέγουσι ἀπὸ τοῦ Ταναΐδος ποταμοῦ ὃν οἱ κοινοὶ λέγουσι Τάναν, ὡς δὲ ἕτεροι λέγουσιν ἀπὸ τοῦ Φάσιδος ποταμοῦ ὅς ἐστι πλησίον τῆς Τραπεζοῦντος, ἕως τῆς ἐκβολῆς τοῦ Νείλου ποταμοῦ ὅστις ἐκβαίνει εἰς τὴν θάλασσαν τῆς Ἀλεξανδρείας. τοῦτο γὰρ τὸ μέρος λέγεται Ἀσία. πάλιν ἀπὸ τῆς ἐκβολῆς τοῦ Νείλου ποταμοῦ τοῦ ἐκβαίνοντος εἰς τὴν θάλασσαν τῆς Ἀλεξανδρείας ὡς εἴρηται ἕως τοῦ ἑνὸς ἄκρου τῆς γῆς τοῦ ἀνατολικοῦ ἤγουν τοῦ στόματος τοῦ κάτω στενοῦ ὅπερ ὡς προείπομεν καλοῦσιν οἱ Λατῖνοι Στρέτο Ζουμπλῖτα, λέγεται Λιβύη καὶ Ἀφρική. πάλιν ἀπὸ τοῦ Φάσιδος ποταμοῦ ἢ τοῦ Ταναΐδος πρὸς τὴν τραμουντάναν ἕως τοῦ ἄλλου ἀκρωτηρίου τοῦ κάτω στενοῦ, εἰς ὅπερ προείπομεν ὅτι ἀπῆλθεν ὁ Ἡρακλῆς καὶ ἔστησεν τὰς στήλας αὐτοῦ, λέγεται Εὐρώπη. λέγεται δὲ κοινῶς τὰ μὲν δύο μέρη τῆς γῆς ἤγουν ἡ Ἀσία καὶ ἡ Εὐρώπη ἀνατολὴ καὶ δύσις. ἡ δὲ Λιβύη νοεῖται καὶ αὐτὴ ὥσπερ ἀνατολή, διότι καὶ αὕτη πλησιάζει πρὸς τὴν μεσημβρίαν, ὅπου εὑρίσκεται πάντοτε ὁ ἥλιος. ἡ γὰρ Εὐρώπη ἔχει τὸν ἥλιον μακρὰν παρὰ τὰ δύο μέρη ἐκεῖνα καὶ διὰ τοῦτο λέγεται καὶ δύσις. Διὰ τοῦτο λέγει ὁ Διονύσιος,

24 ευρόπη Vat.

ὅτι ὁ στόλος οὗτος ὁ ἀρκαδικὸς ἦλθεν εἰς τὰ μέρη τῆς Θρᾴκης παρὰ τὴν Εὐρώπην· τοῦτ᾽ ἔστιν οὐδὲν ἐπελάγωσεν ἀμὴ διὰ τοῦ αἰγιαλοῦ τῆς Εὐρώπης ἤγουν τῆς δύσεως — καὶ γὰρ καὶ ἡ Πελοπόνησος Εὐρώπη ἐστίν — ἦλθεν εἰς τὰ μέρη τῆς Θρᾴκης. καὶ περὶ μὲν τῆς Εὐρώπης τίς ἐστιν εἴπομεν οὕτως. περὶ δὲ τῆς Θρᾴκης τίς ἐστιν ὀφείλομεν εἰπεῖν. δεῖ οὖν γινώσκειν, ὅτι ὥσπερ ἐμερίσθη ἡ γῆ παρὰ τῶν γεωγράφων εἰς Ἀσίαν, Εὐρώπην καὶ Λιβύην, οὕτως καὶ μία ἑκάστη ἐκ τούτων τῶν μοιρῶν μερίζεται εἰς ὀνομασίας τινὰς ἅστινας καλοῦμεν ἡμεῖς ἐπαρχίας, οἱ δὲ Λατῖνοι προβίντζιας. ἔχει γοῦν καὶ ἡ Ἀσία πολλὰς ἐπαρχίας καὶ ἡ Εὐρώπη ὁμοίως καὶ ἡ Λιβύη ὡσαύτως καί τινας μὲν παλαιάς, τινὰς δὲ νέας. αἱ γὰρ ἐπαρχίαι τ᾽ αὐτὸν δ᾽ εἰπεῖν αἱ προβίντζιαι ἄλλως ὠνομάζοντο ὑπὸ τῶν παλαιῶν καὶ ἄλλως ὑπὸ τῶν νεωτέρων. πάλιν μία μεγάλη ἐπαρχία ἔχει μέσον αὐτῆς καὶ μίαν καὶ δύο ἐπαρχίας μικράς, ὥσπερ ἡ Μακεδονία τὴν Θετταλίαν καὶ ἡ Θρᾴκη τὴν Μακεδονίαν καὶ ἄλλαι πολλαὶ ἄλλας πολλάς.

μθ′. περὶ τῆς Θρᾴκης τίς ἐστιν.

Θρᾴκη οὖν λέγεται ὁ τόπος ὅλος ὅντινα ἐὰν θελήσῃ τις ἵνα διέλθῃ, ἐξελθὼν ἀπὸ τοῦ Νέσου ποταμοῦ ὅντινα καλοῦσιν οἱ ἰδιῶται Μέστον καὶ ἀπέλθῃ εἰς τὴν Φιλιππούπολιν, εἶτα ἀπὸ τῆς Φιλιππουπόλεως καὶ ἄνωθεν διέλθῃ τὸν τόπον ὅλον ἐκεῖνον καὶ καταντήσῃ εἰς τὸ ἀκρωτήριον τοῦ δυσικοῦ στόματος τοῦ στενοῦ τοῦ ἄνω ὅπερ οἱ κοινοὶ λέγουσιν Φάρον καὶ πάλιν ἀπ᾽ ἐκείνου κατέλθῃ τὸ δυσικὸν στενὸν ὅλον καὶ καταντήσῃ εἰς τὸ ἀκρωτήριον τοῦ στόματος τοῦ δυσικοῦ τὴν Σηστόν — πόλις

16 post ἄλλως iterum ὀνομάζοντο V.

γὰρ ὑπῆρχεν ἐνταῦθα ἡ Σηστός, οἱ δε κοινοὶ λέγουσιν τὸ ἀκρωτήριον Κριθέαν — καὶ πάλιν ἀπὸ τούτου διέλθη τὸν αἰγιαλὸν τοῦ κόλπου τοῦ Μέλανος, ὅντινα καλοῦσιν οἱ κοινοὶ κόλπον τοῦ Μαγαρισίου, καὶ τῆς Αἴνου καὶ τὰ κύκλῳ τῆς Αἴνου μέχρι Μαρωνίας καὶ ἐφεξῆς ἕως οὗ καταντήσῃ πάλιν εἰς τὸν Νέσον ποταμόν, αὕτη ἡ περιγραφὴ καὶ ἡ γῆ πᾶσα λέγεται 7
Θράκη. λέγει γοῦν καθὼς ἔφημεν ὁ Διονύσιος, ὅτι ὁ στόλος οὗτος τοῦ Δαρδάνου ὁ ἀρκαδικὸς διὰ τοῦ αἰγιαλοῦ τῆς δύσεως κατήντησεν εἰς τὰ μέρη τῆς Θράκης καὶ ἐξέβη εἰς νῆσόν τινα τῆς Θράκης ἤγουν εἰς τὴν νῦν καλουμένην Σαμοθράκην. λέγει γοῦν ὅτι οὐδὲν γινώσκει ὅτι τὸ νησίον τοῦτο εἴτε οἰκούμενον ὑπῆρχε καὶ πρὸ τοῦ ἐλθεῖν τὸν στόλον τοῦτον εἰς αὐτὸ εἴτε ἄοικον. τοῦτο δὲ γινώσκει, ὅτι ἀπὸ τοῦ καιροῦ ἐκείνου ὠνομάσθη ἡ νῆσος αὕτη Σαμοθράκη· πρὸ τούτου γὰρ ὄνομα οὐδὲν εἶχεν. ἐγένετο δὲ τὸ ὄνομα τῆς νήσου ἀπὸ δύο ὀνομάτων συμπεπλεγμένων ἀλλήλοις ἓν ὄνομα σύνθετον, ὅπερ οἱ Λατῖνοι λέγουσι κομπόσιτον. ἀπὸ γὰρ τῆς ἀντικρὺ γῆς ἥτις λέγεται Θράκη καὶ Σάμωνος ἑνὸς Ἕλληνος, ὅστις ὑπέμεινεν ἐκεῖ ἐκ τοῦ στόλου τούτου καὶ ἔκτισεν πόλιν καὶ οἴκισεν τὸ νησίον καὶ ἐκυρίευσεν αὐτοῦ, ὠνομάσθη Σαμοθράκη, τοῦτ' ἔστι τοῦ Σάμωνος ἡ Θράκη. οὗτος δὲ ὁ Σάμων ὑπῆρχεν υἱὸς τοῦ θεοῦ τοῦ Ἑρμοῦ ὅντινα οἱ Λατῖνοι λέγουσι Μερκούριον. ἔστι δὲ ὁ Ἑρμῆς οὗτος καὶ ἀστὴρ ἐν τῷ οὐρανῷ καθὼς καὶ ὁ Ζεὺς καί ἐστι καὶ θεὸς ψευδὴς καὶ ἀνυπόστατος ἑλληνικός.

ν'. ὅτι ὁ Δάρδανος ἐξελθὼν ἀπὸ τῆς Ἀρκαδίας κατήντησεν μετὰ τοῦ στόλου αὐτοῦ εἰς τὴν Σαμοθράκην καὶ ὅπως ὠνομάσθη τὸ νησίον τοῦτο Σαμοθράκη.

5 μαρωνείας V.

τούτου οὖν τοῦ θεοῦ τοῦ Ἑρμοῦ ἐστιν υἱὸς ὁ Σάμων οὗτος καθὼς λέγει οὗτος ὁ Διονύσιος καὶ νύμφης τινὸς ὀνόματι Ῥήνης, ἥτις κατῴκει εἰς ἓν ὄρος τῆς Ἀρκαδίας ὀνομαζόμενον Κυλλήνην.

να'. περὶ νυμφῶν τίνες εἰσὶν καὶ πόσα γένη τούτων εἰσὶν καὶ ὅτι γένη δαιμόνων εἰσίν, ἃ καλοῦσιν οἱ κοινοὶ βαρβαρίζοντες νεραγίδας.

ἔστι δὲ ἡ νύμφη δαιμόνιον μεταμορφούμενον εἰς σχῆμα γυναικός. εἰσὶ δὲ κατὰ τὴν πλάνην τῶν Ἑλλήνων νύμφαι πολλαὶ καὶ διάφοροι. τὰς μὲν γὰρ λέγουσιν ὀρεστιάδας αἵτινες κατοικοῦσιν εἰς τὰ ὄρη, διὰ τοῦτο καὶ ὀρεστιάδες ἀπὸ τοῦ ὄρους λέγονται. ταύτας αἱ σήμερον γυναῖκες καλοῦσιν τὰς ἀπ' ὄξω ἀπὸ παραδόσεως ἑλληνικῆς· ἔτι γὰρ οἱ Χριστιανοὶ ἀπόζουσι καὶ μυρίζουσιν ἑλληνικῆς ἀσχημοσύνης. διὰ τοῦτο γὰρ λέγουσι ταύτας ἀπ' ὄξω ἤγουν ὡς κατοικούσας ἔξω εἰς τὰ ὄρη καὶ τοὺς βουνούς. αἱ δὲ λέγονται νηρηΐδες, ὅσαι κατοικοῦσιν εἰς τὴν θάλασσαν. μυθεύονται γὰρ οἱ Ἕλληνες, ὅτι θεὸς εἷς ἐστὶ θαλάσσιος, ὀνομαζόμενος Νηρεύς. αἱ θυγατέρες γοῦν τούτου ὀνομάζονται νηρηΐδες ἀπὸ τοῦ ὀνόματος αὐτοῦ, ὥσπερ αἱ γυναῖκες βαρβαρίζουσαι λέγουσιν νεραγίδας. αἱ δὲ λέγονται ὑδριάδες, ὅσαι κατοικοῦσιν εἰς τὰ φρέατα ἤως τὰ πηγάδια εἰς τὰς βρύσας εἰς τὰς λίμνας καὶ εἰς τοὺς ποταμούς· διὰ γὰρ τὸ κατοικεῖν εἰς τὸ ὕδωρ λέγονται ὑδριάδες. καὶ ἄλλαι πάλιν ὀνομάζονται ἀλλοτρόπως ἀπὸ τῶν τόπων ἐν οἷς κατοικοῦσι, κοινῷ δὲ καὶ καθολικῷ ὀνόματι πᾶσαι λέγονται νύμφαι. καὶ ἐσέβοντο καὶ ταύτας οἱ Ἕλληνες ὡς δευτέρας θεάς. καὶ οὗτος μὲν ὁ περὶ τῶν παρ' Ἕλλησι νυμφῶν λόγος.

νβ'. τίνα συνήθειαν εἶχον οἱ Ἕλληνες καὶ

αὐτοὶ δὲ οἱ Ἕλληνες εἶχον συνήθειαν, ὅταν

να'. ὅτη Vat. 16 θάλασαν Vat. 20 λέγουσι V. 21 κατικοῦσιν Vat. ἤγουν V. 26 ἐσεύοντο codd.

ἔβλεπον ἄνθρωπόν τινα προτερημένον ὅστις εἶχεν ἀρετήν τινα ἐξαίρετον ἢ χάρισμα μέγαν, ἔλεγον αὐτὸν εἰς τιμὴν αὐτοῦ καὶ ζῶντα καὶ ἀποθανόντα ἥρωα — ἥρως δὲ λέγεται ὁ ἐξ ἡμισείας θεὸς — καὶ ἔπλαττον ὅτι τις ἀπὸ τῶν θεῶν ἐμίγη μετὰ γυναικὸς καὶ ἐποίησεν αὐτόν. ὁμοίως καὶ τὰς γυναῖκας τὰς προτερημένας καὶ ἐχούσας τινὰ ἀρετὴν μεγάλην ἐκάλουν νύμφας, ὡς τάχα διὰ τὴν ἀρετὴν νικησάσας τὴν φύσιν τῶν θνητῶν γυναικῶν καὶ ἀναβάσας εἰς τὴν τάξιν καὶ τὴν φύσιν τῶν νυμφῶν αἵτινές εἰσιν ἀθάνατοι καὶ δεύτεραι θεαί.

ὅπως τοὺς προτερημένους ἀνθρώπους ἐκάλουν ἥρωας, τὰς δὲ προτερημένας γυναῖκας νύμφας.

οὕτως ἐποίησαν οἱ Ἀθηναῖοι, ὅταν παρεγένετο ὁ καῖσαρ εἰς τὰς Ἀθήνας. ἐποίησαν γὰρ κατασκευὴν ἔνθα ἔμελλεν διαβαίνειν ὁ καῖσαρ καὶ ἔρχεσθαι ἐντὸς τῶν Ἀθηνῶν καὶ ἔγραψαν ἐπάνω τῆς κατασκευῆς ὡς ἀπὸ στόματος αὐτῶν πρὸς τὸν καίσαρα, ὅτι ἐφ' ὅσον ἄνθρωπος εἶ, ἐπὶ τοσοῦτον εἶ θεός, τοῦτ' ἔστιν εἰς ὅσον νοεῖς ὅτι ὑπάρχεις ἄνθρωπος διὰ τὴν φύσιν, εἰς τοσοῦτον ὑπάρχεις θεὸς διὰ τὰ ἔργα. οὕτως οὖν καὶ ἡ μήτηρ τοῦ Σάμωνος ἡ Ῥήνη φαίνεται ὅτι ὑπῆρχε προτερημένη καὶ σπουδαία γυνὴ καὶ διὰ τὴν ἀρετὴν αὐτῆς μυθεύονται οἱ Ἕλληνες καὶ ἀνάγουσιν αὐτὴν εἰς τάξιν τῶν παρ' αὐτοῖς νυμφῶν. ὅπως οὖν ἔχει τὸ πρᾶγμα κατὰ τὴν ἱστορίαν, οὗτος ὁ Σάμων ἐστὶν ὁ οἰκιστὴς καὶ ὁ ἀφ' ἑαυτοῦ ὀνομάσας τὴν νῆσον Σαμοθρᾴκην.

νγ'. τί ἐποίησαν οἱ Ἀθηναῖοι παραγενομένου τοῦ καίσαρος εἰς τὰς Ἀθήνας.

οἱ λέγουν Ἕλληνες, ἵνα ἔλθωμεν εἰς τὸν πρῶτον λόγον, οἱ ὄντες μετὰ τοῦ στόλου εἰς τὴν

νδ'. ὅτι οἱ Ἕλληνες καὶ ὁ Δάρδανος ὀλίγον χρόνον ποιήσαν-

4 ἀποθανώντα Vat. 5 ἡμησίας ἔπλατον codd. 14 ἔμελεν Vat. 23 διὰ τὴν ἀρετὴν ante ἀνάγουσιν repetitum et uncis inclusum Vat. 23. 24 παρ' αὐτῆς codd.

τες εἰς τὴν Σαμοθρᾴκην οἱ πλείονες πάλιν ἐπέρασαν εἰς τὴν ἀνατολήν.

Σαμοθρᾴκην καὶ κατοικήσαντες ἐκεῖ, ἤγουν ὁ Δάρδανος ὁ Ἴασος καὶ ὁ Ἰδαῖος, μεθ' ὧν ὑπῆρχε καὶ ὁ Σάμων καὶ ὁ λοιπὸς λαός, ποιήσαντες ὀλίγον χρόνον εἰς τὴν νῆσον ἠγανάκτησαν, διότι οὐχ εὕρισκον εὔκολον καὶ ἀρκετὴν τὴν τροφήν· ἡ γὰρ γῆ τῆς νήσου ὑπῆρχεν ὀλίγη πρὸς τοσοῦτον λαὸν καὶ ὡς φαίνεται καὶ σκληρὰ καὶ ὀλιγόκαρπος. ὑπῆρχε δὲ καὶ ἡ θάλασσα αὐτῆς ἀγρία καὶ ἀλίμενος καὶ διὰ τοῦτο οὐκ ἐδίδου αὐτοῖς ἀνάπαυσιν ἢ τροφήν. ἐκακοπάθουν γοῦν ἰσχυρῶς καὶ ἀπὸ τῆς σκληρότητος τῆς γῆς καὶ ἀπὸ τῆς ἀγριότητος τῆς θαλάσσης. συμβουλευσάμενοι γοῦν πάλιν μετ' ἀλλήλων καταλείπουσιν ἐκεῖ μοῖραν ὀλίγην ἀνθρώπων μετὰ τοῦ Σάμωνος, ὅσους ἐστοχάσθησαν ὅτι δύναται ἵνα τρέφῃ ἡ γῆ· ὁ δὲ Δάρδανος μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰδαίου διαπερᾷ εἰς τὴν ἀνατολὴν μετὰ καὶ τοῦ λοιποῦ λαοῦ αὐτοῦ.

νε'. περὶ τοῦ θανάτου Ἰάσου τοῦ ἀδελφοῦ Δαρδάνου ὑπὸ κεραυνοῦ εἰς τὴν Σαμοθρᾴκην.

ὁ γὰρ ἀδελφὸς αὐτοῦ ὁ Ἴασος ἀπέθανεν εἰς τὴν Σαμοθρᾴκην ὑπὸ κεραυνοῦ· κεραυνὸς δέ ἐστιν ὅπερ οἱ ἰδιῶται λέγουσιν ἀρηκόν. ἐκεραύνωσε δὲ τοῦτον ὁ Ζεύς, διότι γυναῖκα μὲν οὐκ ἔλαβε καὶ ἐβούλετο ἵνα ἀσκῇ παρθενίαν, ὕστερον δὲ ἦλθεν εἰς ἔρωτα καὶ ἐπεθύμησεν ἵνα μιγῇ μετὰ τῆς θεᾶς τῆς Δήμητρος. αὕτη δέ ἐστιν ἀδελφὴ τοῦ Διὸς καὶ εὑρετὶς καὶ εὐεργέτις τῶν καρπῶν τῆς γῆς, περὶ ἧς παρακατιόντες ἐροῦμεν πῶς ἐστιν ἀδελφὴ τοῦ Διός. ὀργισθεὶς οὖν διὰ τὴν ἀναισχυντίαν τοῦ Ἰάσου ὁ Ζεύς, ὅτι ἄνθρωπος ὢν ἐπεθύμησεν ἵνα μιγῇ μετὰ τῆς θεᾶς, ἐποίησεν αὐτὸν κεραυνόβλητον καὶ ἀπέθανεν. ὁ δὲ Δάρδανος

9 ἀλίμηνος codd., recte p. 8, 25.

ὥσπερ εἴπομεν μετὰ τοῦ Ἰδαίου τοῦ υἱοῦ αὐτοῦ καὶ τοῦ λοιποῦ λαοῦ αὐτοῦ διαπεραιωθεὶς εἰς τὴν ἀνατολὴν εἰσέρχεται ἐντὸς τοῦ στόματος τοῦ στενοῦ καὶ ἐξέρχεται εἰς ἓν μέρος τῆς γῆς τοῦ Ἑλλησπόντου. λέγεται δὲ Ἑλλήσποντος ἡ ἀπὸ τῆς Κυζίκου μέχρι τοῦ κάτω στόματος τοῦ στενοῦ θάλασσα ἀπὸ μύθου ἢ ἱστορίας τοιαύτης· Ἀθάμας τις βασιλεὺς τῶν Θηβῶν εἶχε γυναῖκα ὀνομαζομένην Ἰνώ. διὰ προστάγματος γοῦν τῆς θεᾶς τῆς Ἥρας ἥντινα οἱ Λατῖνοι Ζουνόνεμ καλοῦσι, ἀφίησι ταύτην καὶ λαμβάνει ἄλλην ὀνόματι Νεφέλην καὶ ἐποίησεν ἐκ τῆς Νεφέλης υἱὸν ἕνα ὀνόματι Φρίξον καὶ θυγατέρα μίαν ὀνόματι Ἕλλην. πάλιν οὖν ὁ Ἀθάμας ἐμίγετο κρυπτῶς μετὰ τῆς Ἰνοῦς. ὅπερ ἰδοῦσα ἡ Νεφέλη καὶ ζηλοτυπήσασα ἔφυγεν καταλιποῦσα τοὺς αὐτῆς παῖδας εἰς τὸν οἶκον τοῦ ἀνδρὸς αὐτῆς Ἀθάμαντος. τοῦτο ἰδὼν ὁ Ἀθάμας ἔλαβε πάλιν τὴν Ἰνὼ φανερῶς εἰς τὸν οἶκον αὐτοῦ ὡς γυναῖκα. ἐπεβούλευε γοῦν πάντοτε ἡ Ἰνὼ τοὺς προγόνους αὐτῆς τὸν Φρίξον καὶ τὴν Ἕλλην καὶ ἐζήτει τρόπον ὡς μητρυιὰ τοῦ θανατῶσαι αὐτούς. λιμοῦ δὲ γενομένου εἰς τὰ μέρη ἐκεῖνα ἔπεμψαν οἱ Ἀθηναῖοι πρέσβεις εἰς τὸ μαντεῖον ἵνα ἐρωτήσωσι περὶ τοῦ λιμοῦ τούτου. τούτους τοὺς πρέσβεις ἐλθόντας εἰς τὸν οἶκον τοῦ Ἀθάμαντος παρεσκεύασεν ἡ Ἰνὼ μετὰ δώρων πολλῶν, ἵνα εἴπωσιν ὅταν ἐπιστρέψωσιν ἀπὸ τοῦ μαντείου, ὅτι ἐὰν μὴ σφάξωσι καὶ θυσιάσωσι εἰς τοὺς θεοὺς τοὺς παῖδας τοῦ Ἀθάμαντος τὸν Φρίξον καὶ τὴν Ἕλλην ὁ λιμὸς οὐ παυθήσεται ἀπὸ τῶν τόπων ἐκείνων. οἱ δὲ ὑποστρέψαντες εἶπον οὕτως. ὁ

νς'. περὶ τοῦ Ἑλλησπόντου τίς ἐστι καὶ ἱστορία ὅπως ἐκλήθη Ἑλλήσποντος.

1 εἴπωμεν Vat. 5 ὁ pro ἡ V. 7 τοιαύτη Vat.
20 μητρυᾶ Vat.

οὖν Ἀθάμας μὴ ἔχων τί ποιῆσαι ἐβούλετο τούτους ἐκδοῦναι εἰς σφαγὴν καὶ θυσίας τῶν θεῶν. θεὸς δέ τις ἐλεήσας τοὺς παῖδας, ἵνα μὴ ἀποθάνωσιν ἀδίκως, ἔρχεται εἰς τὸν Φρίξον καὶ διηγεῖται αὐτῷ πάντα τὰ γεγονότα καὶ ὅπως κινδυνεύωσιν ἀποθανεῖν ἀδίκως. συμβουλεύει γοῦν αὐτῷ ἵνα λάβῃ τὴν ἀδελφὴν αὐτοῦ καὶ ἀπέλθῃ εἰς τὴν ποίμνην τῶν προβάτων τοῦ πατρὸς αὐτῶν καὶ εὕρῃ τὸν κριὸν τὸν μεγαλώτερον τῆς ποίμνης καὶ καθίσῃ ἐπάνω αὐτοῦ αὐτὸς καὶ ἡ ἀδελφὴ αὐτοῦ. ἐποίησε γοῦν οὕτως καὶ εὑρὼν τὸν κριὸν ἐκάθισεν ἐπάνω αὐτοῦ αὐτὸς καὶ ἡ ἀδελφὴ αὐτοῦ, καὶ παραυτίκα ὁ κριὸς ὑψώθη εἰς τὸν ἀέρα καὶ διεπέρα ἀπὸ τῶν Θηβῶν εἰς τὴν ἀνατολήν. ὁ οὖν Φρίξος ἀνὴρ ὢν ἠδύνατο καὶ ἐβάσταξε τὴν βίαν καὶ τὸν δρόμον τοῦ κριοῦ, ἡ δὲ Ἕλλη ὡς γυνὴ οὐκ ἠδύνατο. ὅτε γοῦν ἦλθε εἰς τὸ στενόν, πλέον οὐκ ἠδύνατο βαστάζειν καὶ ἐκεῖ ἔπεσεν εἰς τὴν θάλασσαν καὶ οὐδὲν ἐφάνη. ἐκλήθη γοῦν ἡ θάλασσα αὕτη ἀπὸ τοῦ ὀνόματος αὐτῆς Ἑλλήσποντος ἤγουν τῆς Ἕλλης ὁ πόντος ἤγουν ἡ θάλασσα ἢ ὁ ποντισμὸς ἤγουν ἔνθα κατεποντίσθη. ὁ οὖν Ἑλλήσποντος ἀπὸ τοιαύτης αἰτίας ἐκλήθη, ὡς μυθολογοῦσιν οἱ Ἕλληνες.

νζ'. ὅπως ἐμερίσθησαν ὁ Δάρδανος καὶ ὁ υἱὸς αὐτοῦ Ἰδαῖος.

ὁ δὲ Δάρδανος καὶ ὁ λαὸς αὐτοῦ καθὼς εἴπομεν ἐξέβη εἰς τὸ μέρος τὸ ἀνατολικὸν τοῦ Ἑλλησπόντου. μετὰ γοῦν τὸ ἐξελθεῖν αὐτοὺς μερίζονται εἰς δύο, καὶ ὁ μὲν Ἰδαῖος ὁ υἱὸς τοῦ Δαρδάνου λαμβάνει τὸ ἥμισυ τοῦ λαοῦ καὶ ἀναχωρεῖ ἀπὸ τοῦ αἰγιαλοῦ εἰς τὸ μέσον τῆς γῆς καὶ ἀναβαίνει εἰς τὰ ὄρη τὰ ὑψηλὰ τῆς χώρας ἐκείνης καὶ κατῴκησεν ἐκεῖ, ἡ ὁποία χώρα λέγει ὁ

11 ἐκάθησεν V. 29 κατώκεισεν codd.

Διονύσιος ὅτι ὠνομάσθη ὕστερον Φρυγία· τότε γὰρ ἄλλως ὠνομάζετο. Φρυγία δέ ἐστιν ὅλος ὁ τόπος ἀπὸ τῆς Ἀσοῦ ἣν λέγομεν οἱ σήμερον Μαχράμην μᾶλλον δὲ ἀπὸ τοῦ ἀνατολικοῦ ἀκρωτηρίου ὃ οἱ παλαιοὶ ἔλεγον Ἄβυδον ἀπὸ τῆς πόλεως ἥτις ὑπῆρχεν ἐκεῖ, οἱ δὲ σήμερον λέγουσι Γενησάρη τουρκικῇ διαλέκτῳ ὃ σημαίνει νέον κάστρον — ἀπὸ τούτου γοῦν ὅλος ὁ κύκλος καὶ ὁ αἰγιαλὸς καὶ ἡ ἐπάνω τοῦ αἰγιαλοῦ γῆ μέχρις τοῦ Ἕρμου ποταμοῦ ὅντινα προεῖπον ὅτι λέγομεν ἡμεῖς ποταμὸν τοῦ Ταρχανειώτου, λέγεται Φρυγία. καὶ ἀπὸ τοῦ ποταμοῦ τούτου πάλιν καὶ ἔμπροσθεν ἄρχεται ἡ Ἰωνία, καθὼς εἴπομεν κατ' ἀρχάς. ὁ γοῦν Ἰδαῖος καθὼς εἴρηται ὁ υἱὸς τοῦ Δαρδάνου κατοικήσας μετὰ τοῦ ἡμίσεως λαοῦ εἰς τὰ πλησίον ὑψηλὰ ὄρη τῆς χώρας ταύτης, ἥτις ὠνομάσθη καὶ Φρυγία ὕστερον, ὠνόμασεν τὰ ὄρη ταῦτα ἀπὸ τοῦ ὀνόματος αὐτοῦ Ἰδαῖα. οἱ γὰρ ἀρχαῖοι εἶχον συνήθειαν καὶ ὠνόμαζον τοὺς τόπους ὧν ἐβασίλευον ἀπὸ τοῦ ὀνόματος αὐτῶν, ὁμοίως καὶ τοὺς ἀνθρώπους, ὡς ἀπὸ τοῦ Ἕλληνος Ἕλληνες καὶ ἀπὸ τοῦ Λατίνου Λατῖνοι καὶ ἀπὸ Ἰταλοῦ Ἰταλία ἡ χώρα καὶ ἀπὸ τοῦ Τρωὸς Τρωὰς ἡ χώρα καὶ ἀπὸ τοῦ Πέλοπος Πελοπόνησος. Ἰδαῖα γοῦν ἐκλήθησαν τὰ ὄρη ταῦτα ἀπὸ τοῦ ὀνόματος τοῦ Ἰδαίου, ὡσὰν εἴποι τις τὰ ὄρη τοῦ Ἰδαίου. εἰσὶ δὲ ταῦτα τὰ ὄρη, ἅτινα καλοῦσιν σήμερον οἱ Τοῦρκοι τῇ ἑαυτῶν γλώσσῃ κὰς τὰγ ἤτοι βουνὸς τῶν χηνῶν· κὰς γὰρ παρ' αὐτῶν λέγεται ὁ χὴν καὶ τὰγ ὁ βουνός. οὐκ

νη'. τίς ἐστιν ἡ Φρυγία καλουμένη.

νθ'. ὅτι ὁ Ἰδαῖος κατῴκησεν εἰς τὰ ὑψηλὰ ὄρη τῆς Φρυγίας ἅτινα ὠνόμασεν Ἰδαῖα.

ξ'. πῶς ὀνομάζουσι σήμερον οἱ Τοῦρκοι τὰ Ἰδαῖα ὄρη.

6. 7 *γενήσαρη* Vat. *νθ'. ὑψηλὰ* deest V. *ξ'. ὠνομάζουσι* codd.

οἶδα δὲ πῶς ὠνόμασαν ταῦτα οὕτως οἱ Τοῦρκοι, στοχάζομαι δὲ ὅτι τὰ ζῶα ταῦτά εἰσιν εἰς πλῆθος εἰς τοὺς βουνοὺς τούτους ἄγρια καὶ κατοικοῦσιν ἐκεῖ. οἱ γὰρ Τοῦρκοι ἀπό τινος συμβάματος ὀνομάζουσι τὰ πράγματα πάντοτε. οὗτος ὁ Ἰδαῖος κατοικήσας εἰς τὰ ὄρη ταῦτα ἔκτισε ναὸν τῆς μητρὸς τῶν θεῶν τῶν ἑλληνικῶν καὶ ἀνυποστάτων. μήτηρ δὲ τῶν θεῶν

ξα΄. περὶ τῆς μητρὸς τῶν ἑλληνικῶν θεῶν τῆς Ῥέας καὶ περὶ τοῦ Κρόνου τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν υἱῶν αὐτῶν καὶ τῶν θυγατέρων.

τούτων κατὰ τοὺς Ἕλληνάς ἐστιν ἡ Ῥέα. μυθεύονται γὰρ οἱ Ἕλληνες ὅτι πρῶτος θεὸς καὶ ἀρχαιότατός ἐστιν ὁ Κρόνος, ὃν εἴπομεν ὅτι λέγουσιν οἱ Λατῖνοι Σατοῦρνον. οὗτος ἔλαβε γυναῖκα τὴν Ῥέαν, ἥντινα λέγουσιν οἱ Λατῖνοι Ὦπιν. ἐγέννησε δὲ ἐξ αὐτῆς τρεῖς υἱοὺς καὶ τρεῖς θυγατέρας, τὸν Δία, ὅστις λατινικῶς λέγεται Γιούπιτερ, τὸν Ποσειδῶνα, ὅντινα λέγουσιν οἱ Λατῖνοι Νεμπτούνουμ, καὶ τὸν Ἅιδην ὅστις καὶ Πλούτων λέγεται — τοῦτον καλοῦσιν οἱ Λατῖνοι Ντίτεμ καὶ Πλουτόνεμ — καὶ τὴν Ἥραν ἥντινα καλοῦσιν ὡς εἴπομεν οἱ Λατῖνοι Γιουννόνεμ καὶ Ἑστίαν ἥντινα καλοῦσιν οἱ Λατῖνοι Βέστεμ καὶ τὴν Δήμητραν ἥντινα οἱ Λατῖνοι ὀνομάζουσι Σερέρεμ, ἧς καὶ ἐπεθύμησε τὴν μῖξιν ὁ Ἴασος καὶ διὰ τοῦτο ἐκεραυνώθη ὡς προείρηται εἰς τὴν Σαμοθρᾴκην καὶ ἀπέθανε. ὁ οὖν Ζεὺς ἔτι βασιλεύοντος τοῦ πατρὸς αὐτοῦ Κρόνου ἠγάπα ἐρωτικῶς τὴν ἀδελφὴν αὐτοῦ τὴν Ἥραν χρόνους τριακοσίους καὶ τέλος ἐμίγετο μετ' αὐτῆς κρυφίως καὶ ἐγέννησεν υἱὸν κυλλὸν ἤγουν τὸν ἰδιωτικῶς ὀνομαζόμενον κουτζὸν Ἥφαιστον λεγόμενον.

ξα΄. κρώνου Vat. 21 ὠνομάζουσι V. 28 Ἥφεστον codd.

ξβʹ. οὗτος ὁ Ἥφαιστος λατινικῶς λέγεται Βουλκάνος.

οὗτος δέ ἐστι θεὸς τοῦ πυρός. ὕστερον δὲ ἀφ' οὗ ἐξέβαλεν ὁ Ζεὺς τὸν ἑαυτοῦ πατέρα τὸν Κρόνον ἀπὸ τῆς ἀρχῆς καὶ ἐδέσμησεν αὐτὸν καὶ ἔῤῥιψεν εἰς τὸν Τάρταρον, διεμερίσατο τὴν ἐκείνου βασιλείαν μετὰ τῶν ἀδελφῶν.

ξγʹ. μερισμὸς τῆς βασιλείας τοῦ Κρόνου ὑπὸ τῶν υἱῶν αὐτοῦ.

καὶ αὐτὸς μὲν ὡς πρωτότοκος ἔλαβε τὸν οὐρανὸν καὶ τὸν αἰθέρα ἤγουν τὸν τόπον τῶν ἀστέρων καὶ τὸν ἀέρα μέχρι τῆς ὄψεως τῆς γῆς. ὁ δὲ ἀδελφὸς αὐτοῦ ὁ δεύτερος ὁ Ποσειδῶν ἔλαβε τὸ πρόσωπον τῆς γῆς καὶ πᾶσαν τὴν θάλασσαν.

ξδʹ. διὰ τί λέγεται Πλούτων ὁ Ἅιδης.

ὁ δὲ Ἅιδης ὅστις ὀνομάζεται καὶ Χάρων καὶ Πλούτων διότι ἀεὶ λαμβάνει καὶ οὐδέποτε δίδωσι — τοῦτο γάρ ἐστι τὸ πλουτεῖν τὸ πάντοτε λαμβάνειν καὶ μηδέποτε διδόναι — ἔλαβεν εἰς βασιλείαν τὰ ὑποκάτω τῆς γῆς καὶ τῆς θαλάσσης, ἃ καὶ ὑποχθόνια καὶ καταχθόνια λέγονται. τὴν δὲ Ἥραν τὴν ἐρωμένην καὶ ἠγαπημένην αὐτοῦ ὁ Ζεὺς ἔλαβε καθαρῶς καὶ φανερῶς εἰς γυναῖκα, ἐπειδὴ πλέον οὐκ ἐφοβεῖτο τὸν πατέρα αὐτοῦ. ἡ δὲ Ἑστία καὶ ἡ Δημήτηρ αἱ δύο ἀδελφαὶ κατελείφθησαν ἀκληρονόμητοι καὶ ἀπόκληροι τῆς βασιλείας τοῦ πατρὸς αὐτῶν. ὅμως ὑπάρχουσι καὶ αὗται θεαί, ἐπειδή εἰσιν ἀπὸ τοῦ γένους τοῦ θεϊκοῦ καὶ ἔχουσι δυνάμεις καὶ ἐνεργείας μεγάλας.

ξεʹ. τίς ἐστιν ἡ δύναμις τῆς θεᾶς τῆς Ἑστίας καὶ τῆς θεᾶς τῆς Δήμητρος.

ἡ μὲν Ἑστία ἔχει δύναμιν φυλάττειν καὶ σκέπειν τὰς πόλεις καὶ τοὺς οἴκους τῶν ἀνθρώπων. διὰ τοῦτο οἱ παλαιοὶ ὅταν ἔκτιζον πόλιν, τὸν πρῶτον ναὸν παρὰ τῶν ἄλλων θεῶν ἔκτιζον τῆς Ἑστίας εἰς φυλακὴν καὶ σκέπην τῆς πόλεως καὶ ἐφύλαττον ἐν αὐτῷ πῦρ ἄσβεστον δι'

ξβʹ. Ἥφεστος codd. 15 ὑπὸ κάτω V. 21 ὅμως deest V.

ὅτι ὁ στόλος οὗτος ὁ ἀρκαδικὸς ἦλθεν εἰς τὰ μέρη τῆς Θρᾴκης παρὰ τὴν Εὐρώπην· τοῦτ' ἔστιν οὐδὲν ἐπελάγωσεν ἀμὴ διὰ τοῦ αἰγιαλοῦ τῆς Εὐρώπης ἤγουν τῆς δύσεως — καὶ γὰρ καὶ ἡ Πελοπόνησος Εὐρώπη ἐστίν — ἦλθεν εἰς τὰ μέρη τῆς Θρᾴκης. καὶ περὶ μὲν τῆς Εὐρώπης τίς ἐστιν εἴπομεν οὕτως. περὶ δὲ τῆς Θρᾴκης τίς ἐστιν ὀφείλομεν εἰπεῖν. δεῖ οὖν γινώσκειν, ὅτι ὥσπερ ἐμερίσθη ἡ γῆ παρὰ τῶν γεωγράφων εἰς Ἀσίαν, Εὐρώπην καὶ Λιβύην, οὕτως καὶ μία ἑκάστη ἐκ τούτων τῶν μοιρῶν μερίζεται εἰς ὀνομασίας τινὰς ἅστινας καλοῦμεν ἡμεῖς ἐπαρχίας, οἱ δὲ Λατῖνοι προβίντζιας. ἔχει γοῦν καὶ ἡ Ἀσία πολλὰς ἐπαρχίας καὶ ἡ Εὐρώπη ὁμοίως καὶ ἡ Λιβύη ὡσαύτως καί τινας μὲν παλαιάς, τινὰς δὲ νέας. αἱ γὰρ ἐπαρχίαι τ' αὐτὸν δ' εἰπεῖν αἱ προβίντζιαι ἄλλως ὠνομάζοντο ὑπὸ τῶν παλαιῶν καὶ ἄλλως ὑπὸ τῶν νεωτέρων. πάλιν μία μεγάλη ἐπαρχία ἔχει μέσον αὐτῆς καὶ μίαν καὶ δύο ἐπαρχίας μικράς, ὥσπερ ἡ Μακεδονία τὴν Θετταλίαν καὶ ἡ Θρᾴκη τὴν Μακεδονίαν καὶ ἄλλαι πολλαὶ ἄλλας πολλάς.

μθ'. περὶ τῆς Θρᾴκης τίς ἐστιν.

Θρᾴκη οὖν λέγεται ὁ τόπος ὅλος ὅντινα ἐὰν θελήσῃ τις ἵνα διέλθῃ, ἐξελθὼν ἀπὸ τοῦ Νέσου ποταμοῦ ὅντινα καλοῦσιν οἱ ἰδιῶται Μέστον καὶ ἀπέλθῃ εἰς τὴν Φιλιππούπολιν, εἶτα ἀπὸ τῆς Φιλιππουπόλεως καὶ ἄνωθεν διέλθῃ τὸν τόπον ὅλον ἐκεῖνον καὶ καταντήσῃ εἰς τὸ ἀκρωτήριον τοῦ δυσικοῦ στόματος τοῦ στενοῦ τοῦ ἄνω ὅπερ οἱ κοινοὶ λέγουσιν Φάρον καὶ πάλιν ἀπ' ἐκείνου κατέλθῃ τὸ δυσικὸν στενὸν ὅλον καὶ καταντήσῃ εἰς τὸ ἀκρωτήριον τοῦ στόματος τοῦ δυσικοῦ τὴν Σηστόν — πόλις

16 post ἄλλως iterum ὀνομάζοντο V.

γὰρ ὑπῆρχεν ἐνταῦθα ἡ Σηστός, οἱ δε κοινοὶ λέγουσιν τὸ ἀκρωτήριον Κριθέαν — καὶ πάλιν ἀπὸ τούτου διέλθῃ τὸν αἰγιαλὸν τοῦ κόλπου τοῦ Μέλανος, ὅντινα καλοῦσιν οἱ κοινοὶ κόλπον τοῦ Μαγαρισίου, καὶ τῆς Αἴνου καὶ τὰ κύκλῳ τῆς Αἴνου μέχρι Μαρωνίας καὶ ἐφεξῆς ἕως οὗ καταντήσῃ πάλιν εἰς τὸν Νέσον ποταμόν, αὕτη ἡ περιγραφὴ καὶ ἡ γῆ πᾶσα λέγεται 7
Θράκη. λέγει γοῦν καθὼς ἔφημεν ὁ Διονύσιος, ὅτι ὁ στόλος οὗτος τοῦ Δαρδάνου ὁ ἀρκαδικὸς διὰ τοῦ αἰγιαλοῦ τῆς δύσεως κατήντησεν εἰς τὰ μέρη τῆς Θράκης καὶ ἐξέβη εἰς νῆσόν τινα τῆς Θράκης ἤγουν εἰς τὴν νῦν καλουμένην Σαμοθράκην. λέγει γοῦν ὅτι οὐδὲν γινώσκει ὅτι τὸ νησίον τοῦτο εἴτε οἰκούμενον ὑπῆρχε καὶ πρὸ τοῦ ἐλθεῖν τὸν στόλον τοῦτον εἰς αὐτὸ εἴτε ἄοικον. τοῦτο δὲ γινώσκει, ὅτι ἀπὸ τοῦ καιροῦ ἐκείνου ὠνομάσθη ἡ νῆσος αὕτη Σαμοθράκη· πρὸ τούτου γὰρ ὄνομα οὐδὲν εἶχεν. ἐγένετο δὲ τὸ ὄνομα τῆς νήσου ἀπὸ δύο ὀνομάτων συμπεπλεγμένων ἀλλήλοις ἓν ὄνομα σύνθετον, ὅπερ οἱ Λατῖνοι λέγουσι κομπόσιτον. ἀπὸ γὰρ τῆς ἀντικρὺ γῆς ἥτις λέγεται Θράκη καὶ Σάμωνος ἑνὸς Ἕλληνος, ὅστις ὑπέμεινεν ἐκεῖ ἐκ τοῦ στόλου τούτου καὶ ἔκτισεν πόλιν καὶ οἴκισεν τὸ νησίον καὶ ἐκυρίευσεν αὐτοῦ, ὠνομάσθη Σαμοθράκη, τοῦτ' ἔστι τοῦ Σάμωνος ἡ Θράκη. οὗτος δὲ ὁ Σάμων ὑπῆρχεν υἱὸς τοῦ θεοῦ τοῦ Ἑρμοῦ ὅντινα οἱ Λατῖνοι λέγουσι Μερκούριον. ἔστι δὲ ὁ Ἑρμῆς οὗτος καὶ ἀστὴρ ἐν τῷ οὐρανῷ καθὼς καὶ ὁ Ζεὺς καί ἐστι καὶ θεὸς ψευδὴς καὶ ἀνυπόστατος ἑλληνικός.

ν'. ὅτι ὁ Δάρδανος ἐξελθὼν ἀπὸ τῆς Ἀρκαδίας κατήντησεν μετὰ τοῦ στόλου αὐτοῦ εἰς τὴν Σαμοθράκην καὶ ὅπως ὠνομάσθη τὸ νησίον τοῦτο Σαμοθράκη.

5 μαρωνείας V.

τούτου οὖν τοῦ θεοῦ τοῦ Ἑρμοῦ ἐστιν υἱὸς ὁ Σάμων οὗτος καθὼς λέγει οὗτος ὁ Διονύσιος καὶ νύμφης τινὸς ὀνόματι Ῥήνης, ἥτις κατῴκει εἰς ἓν ὄρος τῆς Ἀρκαδίας ὀνομαζόμενον Κυλλήνην. ἔστι δὲ ἡ νύμφη δαιμόνιον μεταμορφούμενον εἰς σχῆμα γυναικός. εἰσὶ δὲ κατὰ τὴν πλάνην τῶν Ἑλλήνων νύμφαι πολλαὶ καὶ διάφοροι. τὰς μὲν γὰρ λέγουσιν ὀρεστιάδας αἵτινες κατοικοῦσιν εἰς τὰ ὄρη, διὰ τοῦτο καὶ ὀρεστιάδες ἀπὸ τοῦ ὄρους λέγονται. ταύτας αἱ σήμερον γυναῖκες καλοῦσιν τὰς ἀπ' ὄξω ἀπὸ παραδόσεως ἑλληνικῆς· ἔτι γὰρ οἱ Χριστιανοὶ ἀπόζουσι καὶ μυρίζουσιν ἑλληνικῆς ἀσχημοσύνης. διὰ τοῦτο γὰρ λέγουσι ταύτας ἀπ' ὄξω ἤγουν ὡς κατοικούσας ἔξω εἰς τὰ ὄρη καὶ τοὺς βουνούς. αἱ δὲ λέγονται νηρηίδες, ὅσαι κατοικοῦσιν εἰς τὴν θάλασσαν. μυθεύονται γὰρ οἱ Ἕλληνες, ὅτι θεὸς εἷς ἐστὶ θαλάσσιος, ὀνομαζόμενος Νηρεύς. αἱ θυγατέρες γοῦν τούτου ὀνομάζονται νηρηίδες ἀπὸ τοῦ ὀνόματος αὐτοῦ, ὥσπερ αἱ γυναῖκες βαρβαρίζουσαι λέγουσιν νεραγίδας. αἱ δὲ λέγονται ὑδριάδες, ὅσαι κατοικοῦσιν εἰς τὰ φρέατα ἤως τὰ πηγάδια εἰς τὰς βρύσας εἰς τὰς λίμνας καὶ εἰς τοὺς ποταμούς· διὰ γὰρ τὸ κατοικεῖν εἰς τὸ ὕδωρ λέγονται ὑδριάδες. καὶ ἄλλαι πάλιν ὀνομάζονται ἀλλοτρόπως ἀπὸ τῶν τόπων ἐν οἷς κατοικοῦσι, κοινῷ δὲ καὶ καθολικῷ ὀνόματι πᾶσαι λέγονται νύμφαι. καὶ ἐσέβοντο καὶ ταύτας οἱ Ἕλληνες ὡς δευτέρας θεάς. καὶ οὗτος μὲν ὁ περὶ τῶν παρ' Ἕλλησι νυμφῶν λόγος. αὐτοὶ δὲ οἱ Ἕλληνες εἶχον συνήθειαν, ὅταν

να'. περὶ νυμφῶν τίνες εἰσὶν καὶ πόσα γένη τούτων εἰσὶν καὶ ὅτι γένη δαιμόνων εἰσίν, ἃ καλοῦσιν οἱ κοινοὶ βαρβαρίζοντες νεραγίδας.

νβ'. τίνα συνήθειαν εἶχον οἱ Ἕλληνες καὶ

να'. ὅτη Vat. 16 θάλασαν Vat. 20 λέγουσι V.
21 κατικοῦσιν Vat. ἤγουν V. 26 ἐσεύοντο codd.

ἔβλεπον ἄνθρωπόν τινα προτερημένον ὅστις εἶχεν ἀρετήν τινα ἐξαίρετον ἢ χάρισμα μέγαν, ἔλεγον αὐτὸν εἰς τιμὴν αὐτοῦ καὶ ζῶντα καὶ ἀποθανόντα ἥρωα — ἥρως δὲ λέγεται ὁ ἐξ ἡμισείας θεὸς — καὶ ἔπλαττον ὅτι τις ἀπὸ τῶν θεῶν ἐμίγη μετὰ γυναικὸς καὶ ἐποίησεν αὐτόν.

ὅπως τοὺς προτερημένους ἀνθρώπους ἐκάλουν ἥρωας, τὰς δὲ προτερημένας γυναῖκας νύμφας.

ὁμοίως καὶ τὰς γυναῖκας τὰς προτερημένας καὶ ἐχούσας τινὰ ἀρετὴν μεγάλην ἐκάλουν νύμφας, ὡς τάχα διὰ τὴν ἀρετὴν νικησάσας τὴν φύσιν τῶν θνητῶν γυναικῶν καὶ ἀναβάσας εἰς τὴν τάξιν καὶ τὴν φύσιν τῶν νυμφῶν αἵτινές εἰσιν ἀθάνατοι καὶ δεύτεραι θεαί.

νγʹ. τί ἐποίησαν οἱ Ἀθηναῖοι παραγενομένου τοῦ καίσαρος εἰς τὰς Ἀθήνας.

οὕτως ἐποίησαν οἱ Ἀθηναῖοι, ὅταν παρεγένετο ὁ καῖσαρ εἰς τὰς Ἀθήνας. ἐποίησαν γὰρ κατασκευὴν ἔνθα ἔμελλεν διαβαίνειν ὁ καῖσαρ καὶ ἔρχεσθαι ἐντὸς τῶν Ἀθηνῶν καὶ ἔγραψαν ἐπάνω τῆς κατασκευῆς ὡς ἀπὸ στόματος αὐτῶν πρὸς τὸν καίσαρα, ὅτι ἐφ' ὅσον ἄνθρωπος εἶ, ἐπὶ τοσοῦτον εἶ θεός, τοῦτ' ἔστιν εἰς ὅσον νοεῖς ὅτι ὑπάρχεις ἄνθρωπος διὰ τὴν φύσιν, εἰς τοσοῦτον ὑπάρχεις θεὸς διὰ τὰ ἔργα. οὕτως οὖν καὶ ἡ μήτηρ τοῦ Σάμωνος ἡ Ῥήνη φαίνεται ὅτι ὑπῆρχε προτερημένη καὶ σπουδαία γυνὴ καὶ διὰ τὴν ἀρετὴν αὐτῆς μυθεύονται οἱ Ἕλληνες καὶ ἀνάγουσιν αὐτὴν εἰς τάξιν τῶν παρ' αὐτοῖς νυμφῶν. ὅπως οὖν ἔχει τὸ πρᾶγμα κατὰ τὴν ἱστορίαν, οὗτος ὁ Σάμων ἐστὶν ὁ οἰκιστὴς καὶ ὁ ἀφ' ἑαυτοῦ ὀνομάσας τὴν νῆσον Σαμοθρᾴκην. οἱ γοῦν Ἕλληνες, ἵνα ἔλθωμεν εἰς τὸν πρῶτον λόγον, οἱ ὄντες μετὰ τοῦ στόλου εἰς τὴν

νδʹ. ὅτι οἱ Ἕλληνες καὶ ὁ Δάρδανος ὀλίγον χρόνον ποιήσαν-

4 ἀποθανώντα Vat. 5 ἡμησίας ἔπλατον codd. 14 ἔμελεν Vat. 23 διὰ τὴν ἀρετὴν ante ἀνάγουσιν repetitum et uncis inclusum Vat. 23. 24 παρ' αὐτῆς codd.

τες εἰς τὴν Σαμοθράκην οἱ πλείονες πάλιν ἐπέρασαν εἰς τὴν ἀνατολήν.

Σαμοθράκην καὶ κατοικήσαντες ἐκεῖ, ἤγουν ὁ Δάρδανος ὁ Ἴασος καὶ ὁ Ἰδαῖος, μεθ' ὧν ὑπῆρχε καὶ ὁ Σάμων καὶ ὁ λοιπὸς λαός, ποιήσαντες ὀλίγον χρόνον εἰς τὴν νῆσον ἠγανάκτησαν, διότι οὐχ εὕρισκον εὔκολον καὶ ἀρκετὴν τὴν τροφήν· ἡ γὰρ γῆ τῆς νήσου ὑπῆρχεν ὀλίγη πρὸς τοσοῦτον λαὸν καὶ ὡς φαίνεται καὶ σκληρὰ καὶ ὀλιγόκαρπος. ὑπῆρχε δὲ καὶ ἡ θάλασσα αὐτῆς ἀγρία καὶ ἀλίμενος καὶ διὰ τοῦτο οὐκ ἐδίδου αὐτοῖς ἀνάπαυσιν ἢ τροφήν. ἐκακοπάθουν γοῦν ἰσχυρῶς καὶ ἀπὸ τῆς σκληρότητος τῆς γῆς καὶ ἀπὸ τῆς ἀγριότητος τῆς θαλάσσης. συμβουλευσάμενοι γοῦν πάλιν μετ' ἀλλήλων καταλείπουσιν ἐκεῖ μοῖραν ὀλίγην ἀνθρώπων μετὰ τοῦ Σάμωνος, ὅσους ἐστοχάσθησαν ὅτι δύναται ἵνα τρέφῃ ἡ γῆ· ὁ δὲ Δάρδανος μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰδαίου διαπερᾷ εἰς τὴν ἀνατολὴν μετὰ καὶ τοῦ λοιποῦ λαοῦ αὐτοῦ.

νε'. περὶ τοῦ θανάτου Ἰάσου τοῦ ἀδελφοῦ Δαρδάνου ὑπὸ κεραυνοῦ εἰς τὴν Σαμοθράκην.

ὁ γὰρ ἀδελφὸς αὐτοῦ ὁ Ἴασος ἀπέθανεν εἰς τὴν Σαμοθράκην ὑπὸ κεραυνοῦ· κεραυνὸς δέ ἐστιν ὅπερ οἱ ἰδιῶται λέγουσιν ἀρηκόν. ἐκεραύνωσε δὲ τοῦτον ὁ Ζεύς, διότι γυναῖκα μὲν οὐκ ἔλαβε καὶ ἐβούλετο ἵνα ἀσκῇ παρθενίαν, ὕστερον δὲ ἦλθεν εἰς ἔρωτα καὶ ἐπεθύμησεν ἵνα μιγῇ μετὰ τῆς θεᾶς τῆς Δήμητρος. αὕτη δέ ἐστιν ἀδελφὴ τοῦ Διὸς καὶ εὑρετὶς καὶ εὐεργέτις τῶν καρπῶν τῆς γῆς, περὶ ἧς παρακατιόντες ἐροῦμεν πῶς ἐστιν ἀδελφὴ τοῦ Διός. ὀργισθεὶς οὖν διὰ τὴν ἀναισχυντίαν τοῦ Ἰάσου ὁ Ζεύς, ὅτι ἄνθρωπος ὢν ἐπεθύμησεν ἵνα μιγῇ μετὰ τῆς θεᾶς, ἐποίησεν αὐτὸν κεραυνόβλητον καὶ ἀπέθανεν. ὁ δὲ Δάρδανος

9 ἀλίμηνος codd., recte p. 8, 25.

ὥσπερ εἴπομεν μετὰ τοῦ Ἰδαίου τοῦ υἱοῦ αὐτοῦ καὶ τοῦ λοιποῦ λαοῦ αὐτοῦ διαπεραιωθεὶς εἰς τὴν ἀνατολὴν εἰσέρχεται ἐντὸς τοῦ στόματος τοῦ στενοῦ καὶ ἐξέρχεται εἰς ἓν μέρος τῆς γῆς τοῦ Ἑλλησπόντου. λέγεται δὲ Ἑλλήσποντος ἡ ἀπὸ τῆς Κυζίκου μέχρι τοῦ κάτω στόματος τοῦ στενοῦ θάλασσα ἀπὸ μύθου ἢ ἱστορίας τοιαύτης· Ἀθάμας τις βασιλεὺς τῶν Θηβῶν εἶχε γυναῖκα ὀνομαζομένην Ἰνώ. διὰ προστάγματος γοῦν τῆς θεᾶς τῆς Ἥρας ἥντινα οἱ Λατῖνοι Ζουνόνεμ καλοῦσι, ἀφίησι ταύτην καὶ λαμβάνει ἄλλην ὀνόματι Νεφέλην καὶ ἐποίησεν ἐκ τῆς Νεφέλης υἱὸν ἕνα ὀνόματι Φρίξον καὶ θυγατέρα μίαν ὀνόματι Ἕλλην. πάλιν οὖν ὁ Ἀθάμας ἐμίγετο κρυπτῶς μετὰ τῆς Ἰνοῦς. ὅπερ ἰδοῦσα ἡ Νεφέλη καὶ ζηλοτυπήσασα ἔφυγεν καταλιποῦσα τοὺς αὐτῆς παῖδας εἰς τὸν οἶκον τοῦ ἀνδρὸς αὐτῆς Ἀθάμαντος. τοῦτο ἰδὼν ὁ Ἀθάμας ἔλαβε πάλιν τὴν Ἰνὼ φανερῶς εἰς τὸν οἶκον αὐτοῦ ὡς γυναῖκα. ἐπεβούλευε γοῦν πάντοτε ἡ Ἰνὼ τοὺς προγόνους αὐτῆς τὸν Φρίξον καὶ τὴν Ἕλλην καὶ ἐζήτει τρόπον ὡς μητρυιὰ τοῦ θανατῶσαι αὐτούς. λιμοῦ δὲ γενομένου εἰς τὰ μέρη ἐκεῖνα ἔπεμψαν οἱ Ἀθηναῖοι πρέσβεις εἰς τὸ μαντεῖον ἵνα ἐρωτήσωσι περὶ τοῦ λιμοῦ τούτου. τούτους τοὺς πρέσβεις ἐλθόντας εἰς τὸν οἶκον τοῦ Ἀθάμαντος παρεσκεύασεν ἡ Ἰνὼ μετὰ δώρων πολλῶν, ἵνα εἴπωσιν ὅταν ἐπιστρέψωσιν ἀπὸ τοῦ μαντείου, ὅτι ἐὰν μὴ σφάξωσι καὶ θυσιάσωσι εἰς τοὺς θεοὺς τοὺς παῖδας τοῦ Ἀθάμαντος τὸν Φρίξον καὶ τὴν Ἕλλην ὁ λιμὸς οὐ παυθήσεται ἀπὸ τῶν τόπων ἐκείνων. οἱ δὲ ὑποστρέψαντες εἶπον οὕτως. ὁ

νϛ'. περὶ τοῦ Ἑλλησπόντου τίς ἐστι καὶ ἱστορία ὅπως ἐκλήθη Ἑλλήσποντος.

1 εἴπωμεν Vat. 5 ὁ pro ἡ V. 7 τοιαύτη Vat.
20 μητρυὰ Vat.

οὖν Ἀθάμας μὴ ἔχων τί ποιῆσαι ἐβούλετο τούτους ἐκδοῦναι εἰς σφαγὴν καὶ θυσίας τῶν θεῶν. θεὸς δέ τις ἐλεήσας τοὺς παῖδας, ἵνα μὴ ἀποθάνωσιν ἀδίκως, ἔρχεται εἰς τὸν Φρίξον καὶ διηγεῖται αὐτῷ πάντα τὰ γεγονότα καὶ ὅπως κινδυνεύωσιν ἀποθανεῖν ἀδίκως. συμβουλεύει γοῦν αὐτῷ ἵνα λάβῃ τὴν ἀδελφὴν αὐτοῦ καὶ ἀπέλθῃ εἰς τὴν ποίμνην τῶν προβάτων τοῦ πατρὸς αὐτῶν καὶ εὕρῃ τὸν κριὸν τὸν μεγαλώτερον τῆς ποίμνης καὶ καθίσῃ ἐπάνω αὐτοῦ αὐτὸς καὶ ἡ ἀδελφὴ αὐτοῦ. ἐποίησε γοῦν οὕτως καὶ εὑρὼν τὸν κριὸν ἐκάθισεν ἐπάνω αὐτοῦ αὐτὸς καὶ ἡ ἀδελφὴ αὐτοῦ, καὶ παραυτίκα ὁ κριὸς ὑψώθη εἰς τὸν ἀέρα καὶ διεπέρα ἀπὸ τῶν Θηβῶν εἰς τὴν ἀνατολήν. ὁ οὖν Φρίξος ἀνὴρ ὢν ἠδύνατο καὶ ἐβάσταξε τὴν βίαν καὶ τὸν δρόμον τοῦ κριοῦ, ἡ δὲ Ἕλλη ὡς γυνὴ οὐκ ἠδύνατο. ὅτε γοῦν ἦλθε εἰς τὸ στενόν, πλέον οὐκ ἠδύνατο βαστάζειν καὶ ἐκεῖ ἔπεσεν εἰς τὴν θάλασσαν καὶ οὐδὲν ἐφάνη. ἐκλήθη γοῦν ἡ θάλασσα αὕτη ἀπὸ τοῦ ὀνόματος αὐτῆς Ἑλλήσποντος ἤγουν τῆς Ἕλλης ὁ πόντος ἤγουν ἡ θάλασσα ἢ ὁ ποντισμὸς ἤγουν ἔνθα κατεποντίσθη. ὁ οὖν Ἑλλήσποντος ἀπὸ τοιαύτης αἰτίας ἐκλήθη, ὡς μυθολογοῦσιν οἱ Ἕλληνες.

νζ΄. ὅπως ἐμερίσθησαν ὁ Δάρδανος καὶ ὁ υἱὸς αὐτοῦ Ἰδαῖος.

ὁ δὲ Δάρδανος καὶ ὁ λαὸς αὐτοῦ καθὼς εἴπομεν ἐξέβη εἰς τὸ μέρος τὸ ἀνατολικὸν τοῦ Ἑλλησπόντου. μετὰ γοῦν τὸ ἐξελθεῖν αὐτοὺς μερίζονται εἰς δύο, καὶ ὁ μὲν Ἰδαῖος ὁ υἱὸς τοῦ Δαρδάνου λαμβάνει τὸ ἥμισυ τοῦ λαοῦ καὶ ἀναχωρεῖ ἀπὸ τοῦ αἰγιαλοῦ εἰς τὸ μέσον τῆς γῆς καὶ ἀναβαίνει εἰς τὰ ὄρη τὰ ὑψηλὰ τῆς χώρας ἐκείνης καὶ κατῴκησεν ἐκεῖ, ἡ ὁποία χώρα λέγει ὁ

11 ἐκάθησεν V. 29 κατώκεισεν codd.

Διονύσιος ὅτι ὠνομάσθη ὕστερον Φρυγία· τότε γὰρ ἄλλως ὠνομάζετο. Φρυγία δέ ἐστιν ὅλος ὁ τόπος ἀπὸ τῆς Ἀσοῦ ἣν λέγομεν οἱ σήμερον Μαχράμην μᾶλλον δὲ ἀπὸ τοῦ ἀνατολικοῦ ἀκρωτηρίου ὃ οἱ παλαιοὶ ἔλεγον Ἄβυδον ἀπὸ τῆς πόλεως ἥτις ὑπῆρχεν ἐκεῖ, οἱ δὲ σήμερον λέγουσι Γενησάρη τουρκικῇ διαλέκτῳ ὃ σημαίνει νέον κάστρον — ἀπὸ τούτου γοῦν ὅλος ὁ κύκλος καὶ ὁ αἰγιαλὸς καὶ ἡ ἐπάνω τοῦ αἰγιαλοῦ γῆ μέχρις τοῦ Ἕρμου ποταμοῦ ὅντινα προεῖπον ὅτι λέγομεν ἡμεῖς ποταμὸν τοῦ Ταρχανειώτου, λέγεται Φρυγία. καὶ ἀπὸ τοῦ ποταμοῦ τούτου πάλιν καὶ ἔμπροσθεν ἄρχεται ἡ Ἰωνία, καθὼς εἴπομεν κατ' ἀρχάς. ὁ γοῦν Ἰδαῖος καθὼς εἴρηται ὁ υἱὸς τοῦ Δαρδάνου κατοικήσας μετὰ τοῦ ἡμίσεως λαοῦ εἰς τὰ πλησίον ὑψηλὰ ὄρη τῆς χώρας ταύτης, ἥτις ὠνομάσθη καὶ Φρυγία ὕστερον, ὠνόμασεν τὰ ὄρη ταῦτα ἀπὸ τοῦ ὀνόματος αὐτοῦ Ἰδαῖα. οἱ γὰρ ἀρχαῖοι εἶχον συνήθειαν καὶ ὠνόμαζον τοὺς τόπους ὧν ἐβασίλευον ἀπὸ τοῦ ὀνόματος αὐτῶν, ὁμοίως καὶ τοὺς ἀνθρώπους, ὡς ἀπὸ τοῦ Ἕλληνος Ἕλληνες καὶ ἀπὸ τοῦ Λατίνου Λατῖνοι καὶ ἀπὸ Ἰταλοῦ Ἰταλία ἡ χώρα καὶ ἀπὸ τοῦ Τρωὸς Τρωὰς ἡ χώρα καὶ ἀπὸ τοῦ Πέλοπος Πελοπόνησος. Ἰδαῖα γοῦν ἐκλήθησαν τὰ ὄρη ταῦτα ἀπὸ τοῦ ὀνόματος τοῦ Ἰδαίου, ὡσὰν εἴποι τις τὰ ὄρη τοῦ Ἰδαίου. εἰσὶ δὲ ταῦτα τὰ ὄρη, ἅτινα καλοῦσιν σήμερον οἱ Τοῦρκοι τῇ ἑαυτῶν γλώσσῃ κὰς τὰγ ἤτοι βουνὸς τῶν χηνῶν· κὰς γὰρ παρ' αὐτῶν λέγεται ὁ χὴν καὶ τὰγ ὁ βουνός. οὐκ

νη'. τίς ἐστιν ἡ Φρυγία καλουμένη.

νθ'. ὅτι ὁ Ἰδαῖος κατῴκησεν εἰς τὰ ὑψηλὰ ὄρη τῆς Φρυγίας ἅτινα ὠνόμασεν Ἰδαῖα.

ξ'. πῶς ὀνομάζουσι σήμερον οἱ Τοῦρκοι τὰ Ἰδαῖα ὄρη.

6. 7 γενήσαρη Vat. νθ'. ὑψηλὰ deest V. ξ'. ὠνομάζουσι codd.

οἶδα δὲ πῶς ὠνόμασαν ταῦτα οὕτως οἱ Τοῦρκοι, στοχάζομαι δὲ ὅτι τὰ ζῶα ταῦτά εἰσιν εἰς πλῆθος εἰς τοὺς βουνοὺς τούτους ἄγρια καὶ κατοικοῦσιν ἐκεῖ. οἱ γὰρ Τοῦρκοι ἀπό τινος συμβάματος ὀνομάζουσι τὰ πράγματα πάντοτε. οὗτος ὁ Ἰδαῖος κατοικήσας εἰς τὰ ὄρη ταῦτα ἔκτισε ναὸν τῆς μητρὸς τῶν θεῶν τῶν ἑλληνικῶν καὶ ἀνυποστάτων.

ξα'. περὶ τῆς μητρὸς τῶν ἑλληνικῶν θεῶν τῆς Ῥέας καὶ περὶ τοῦ Κρόνου τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν υἱῶν αὐτῶν καὶ τῶν θυγατέρων.

μήτηρ δὲ τῶν θεῶν τούτων κατὰ τοὺς Ἕλληνάς ἐστιν ἡ Ῥέα. μυθεύονται γὰρ οἱ Ἕλληνες ὅτι πρῶτος θεὸς καὶ ἀρχαιότατός ἐστιν ὁ Κρόνος, ὃν εἴπομεν ὅτι λέγουσιν οἱ Λατῖνοι Σατοῦρνον. οὗτος ἔλαβε γυναῖκα τὴν Ῥέαν, ἥντινα λέγουσιν οἱ Λατῖνοι Ὄπιν. ἐγέννησε δὲ ἐξ αὐτῆς τρεῖς υἱοὺς καὶ τρεῖς θυγατέρας, τὸν Δία, ὅστις λατινικῶς λέγεται Γιούπιτερ, τὸν Ποσειδῶνα, ὅντινα λέγουσιν οἱ Λατῖνοι Νεμπτούνουμ, καὶ τὸν Ἅιδην ὅστις καὶ Πλούτων λέγεται — τοῦτον καλοῦσιν οἱ Λατῖνοι Ντίτεμ καὶ Πλουτόνεμ — καὶ τὴν Ἥραν ἥντινα καλοῦσιν ὡς εἴπομεν οἱ Λατῖνοι Γιουννόνεμ καὶ Ἑστίαν ἥντινα καλοῦσιν οἱ Λατῖνοι Βέστεμ καὶ τὴν Δήμητραν ἥντινα οἱ Λατῖνοι ὀνομάζουσι Σερέρεμ, ἧς καὶ ἐπεθύμησε τὴν μῖξιν ὁ Ἴασος καὶ διὰ τοῦτο ἐκεραυνώθη ὡς προείρηται εἰς τὴν Σαμοθρᾴκην καὶ ἀπέθανε. ὁ οὖν Ζεὺς ἔτι βασιλεύοντος τοῦ πατρὸς αὐτοῦ Κρόνου ἠγάπα ἐρωτικῶς τὴν ἀδελφὴν αὐτοῦ τὴν Ἥραν χρόνους τριακοσίους καὶ τέλος ἐμίγετο μετ' αὐτῆς κρυφίως καὶ ἐγέννησεν υἱὸν κυλλὸν ἤγουν τὸν ἰδιωτικῶς ὀνομαζόμενον κουτζὸν Ἥφαιστον λεγόμενον.

ξα'. κρώνου Vat. 21 ὠνομάζουσι V. 28 Ἥφεστον codd.

ξβ'. οὗτος ὁ Ἥφαιστος λατινικῶς λέγεται Βουλκάνος.

οὗτος δέ ἐστι θεὸς τοῦ πυρός. ὕστερον δὲ ἀφ' οὗ ἐξέβαλεν ὁ Ζεὺς τὸν ἑαυτοῦ πατέρα τὸν Κρόνον ἀπὸ τῆς ἀρχῆς καὶ ἐδέσμησεν αὐτὸν καὶ ἔῤῥιψεν εἰς τὸν Τάρταρον, διεμερίσατο τὴν ἐκείνου βασιλείαν μετὰ τῶν ἀδελφῶν.

ξγ'. μερισμὸς τῆς βασιλείας τοῦ Κρόνου ὑπὸ τῶν υἱῶν αὐτοῦ.

καὶ αὐτὸς μὲν ὡς πρωτότοκος ἔλαβε τὸν οὐρανὸν καὶ τὸν αἰθέρα ἤγουν τὸν τόπον τῶν ἀστέρων καὶ τὸν ἀέρα μέχρι τῆς ὄψεως τῆς γῆς. ὁ δὲ ἀδελφὸς αὐτοῦ ὁ δεύτερος ὁ Ποσειδῶν ἔλαβε τὸ πρόσωπον τῆς γῆς καὶ πᾶσαν τὴν θάλασσαν.

ξδ'. διὰ τί λέγεται Πλούτων ὁ Ἅιδης.

ὁ δὲ Ἅιδης ὅστις ὀνομάζεται καὶ Χάρων καὶ Πλούτων διότι ἀεὶ λαμβάνει καὶ οὐδέποτε δίδωσι — τοῦτο γάρ ἐστι τὸ πλουτεῖν τὸ πάντοτε λαμβάνειν καὶ μηδέποτε διδόναι — ἔλαβεν εἰς βασιλείαν τὰ ὑποκάτω τῆς γῆς καὶ τῆς θαλάσσης, ἃ καὶ ὑποχθόνια καὶ καταχθόνια λέγονται. τὴν δὲ Ἥραν τὴν ἐρωμένην καὶ ἠγαπημένην αὐτοῦ ὁ Ζεὺς ἔλαβε καθαρῶς καὶ φανερῶς εἰς γυναῖκα, ἐπειδὴ πλέον οὐκ ἐφοβεῖτο τὸν πατέρα αὐτοῦ. ἡ δὲ Ἑστία καὶ ἡ Δημήτηρ αἱ δύο ἀδελφαὶ κατελείφθησαν ἀκληρονόμητοι καὶ ἀπόκληροι τῆς βασιλείας τοῦ πατρὸς αὐτῶν. ὅμως ὑπάρχουσι καὶ αὗται θεαί, ἐπειδή εἰσιν ἀπὸ τοῦ γένους τοῦ θεϊκοῦ καὶ ἔχουσι δυνάμεις καὶ ἐνεργείας μεγάλας.

ξε'. τίς ἐστιν η δύναμις τῆς θεᾶς τῆς Ἑστίας καὶ τῆς θεᾶς τῆς Δήμητρος.

ἡ μὲν Ἑστία ἔχει δύναμιν φυλάττειν καὶ σκέπειν τὰς πόλεις καὶ τοὺς οἴκους τῶν ἀνθρώπων. διὰ τοῦτο οἱ παλαιοὶ ὅταν ἔκτιζον πόλιν, τὸν πρῶτον ναὸν παρὸ τῶν ἄλλων θεῶν ἔκτιζον τῆς Ἑστίας εἰς φυλακὴν καὶ σκέπην τῆς πόλεως καὶ ἐφύλαττον ἐν αὐτῷ πῦρ ἄσβεστον δι'

ξβ'. Ἥφεστος codd. 15 ὑπὸ κάτω V. 21 ὅμως deest V.

ὅλου τοῦ χρόνου ἁπτόμενον καὶ φυλαττόμενον ἵνα μὴ σβέσῃ ὑπὸ παρθένων γυναικῶν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐπὶ παντὸς οἴκου ἀνθρώπου ἐν ᾧ ἅπτεται πῦρ, ὁ τόπος ἐκεῖνος ἑστία καλεῖται καὶ τὸ πῦρ ἐκεῖνο τῆς Ἑστίας λέγεται.

ξς'. ὅτι ἡ πυροστία πῦρ τῆς Ἑστίας λέγεται.

ἡ γὰρ λεγομένη βαρβαρικῶς παραστία, παρὰ δέ τινων πυροστία αὐτὸ τοῦτο σημαίνει ὅπερ εἶπον ἄνωθεν. πῦρ γὰρ Ἑστίας ὀφεῖλον λέγεσθαι βαρβαρωθὲν πυροστία λέγεται, ὥστε ὁ τόπος ἐν ᾧ ἅπτεται εἰς ἕκαστον οἶκον τὸ πῦρ ὥσπερ ναός ἐστι τῆς Ἑστίας καὶ τὸ ἐν αὐτῷ πῦρ πῦρ τῆς Ἑστίας λέγεται. ἡ δὲ Δημήτηρ, δι' ἣν ἐκάη ὁ Ἴασος, θεά ἐστι τῆς γεωργίας καὶ τῶν καρπῶν ἁπάντων τῆς γῆς καὶ ταύτην τιμῶσιν οἱ γεωργοὶ καὶ οἱ ἀπὸ τῆς γῆς βουλόμενοι τρέφεσθαι καὶ πλουτεῖν. ἀπὸ τοῦ Διὸς γοῦν καὶ ἀπὸ τῶν ἄλλων θεῶν ὧν εἴπομεν ἀῤῥενικῶν καὶ θηλειῶν ἐγένετο πλῆθος θεῶν καὶ ἡμιθέων, ὧν ἁπάντων ἐστὶ μήτηρ καὶ προμήτωρ ἡ Ῥέα ἡ γυνὴ τοῦ Κρόνου, ὥσπερ ἐστὶ ἡμῶν τῶν ἀνθρώπων ἡ Εὔα. ταύτης οὖν τῆς Ῥέας τῆς μητρὸς τῶν θεῶν ἔκτισεν ναὸν ὁ Ἰδαῖος εἰς τὰ ὄρη τὰ Ἰδαῖα εἰς ἃ κατῴκησεν, καὶ κατέστησε καὶ ἐνομοθέτησε θυσίας καὶ ἑορτὰς καὶ τιμὰς τῆς θεᾶς ταύτης, αἵτινες καθὼς λέγει ὁ ἱστορικὸς οὗτος διέμενον καὶ ἐγίνοντο καὶ ἕως τῆς ἡμέρας αὐτοῦ καθὼς ἐνομοθέτησε ταύτας ὁ Ἰδαῖος. καὶ ὁ μὲν Ἰδαῖος οὕτως ἐποίησε καὶ εἰς τοὺς τόπους τούτους κατῴκησε.

ξζ'. περὶ τοῦ Δαρδάνου ὅπως κατῴκησεν εἰς τὸν Ἑλλήσποντον καὶ ἔκτισε καὶ πόλιν Δάρδανον.

ὁ δὲ πατὴρ αὐτοῦ ὁ Δάρδανος κατῴκησεν ἐντὸς τοῦ στενοῦ εἰς τὸν αἰγιαλὸν πλησίον τῆς γῆς τῆς ὕστερον ὀνομασθείσης Τρωάδος καὶ ἔκτισε πόλιν ἐν τῷ

23 διέμεινον V. 28. 29 ὀνομασθούσης V.

τόπῳ τούτῳ καὶ ὠνόμασεν αὐτὴν ἀπὸ τοῦ ὀνόματος αὐτοῦ Δάρδανον. τὸν τόπον γοῦν τοῦτον ἔνθα κατῴκησεν καὶ εἰς ὅντινα ἔκτισε τὴν πόλιν, ἐχαρίσατο αὐτῷ ἵνα κατοικήσῃ ὁ βασιλεὺς τῆς χώρας ἐκείνης ὁ Τεῦκρος. οὗτος γὰρ ὑπῆρχε τότε βασιλεὺς τοῦ τόπου ἐκείνου καὶ ὠνομάζετο καὶ ἡ χώρα ἀπὸ τοῦ ὀνόματος αὐτοῦ Τευκρίς. τοῦτον τὸν Τεῦκρον τὸν βασιλέα λέγουσι καὶ ἄλλοι πολλοὶ ἱστορικοὶ καὶ μάλιστα ὁ Φανίδημος, ὅστις ἔγραψε τὴν παλαιὰν ἱστορίαν τῶν Ἀθηναίων καὶ τοῦ τόπου τῶν Ἀθηνῶν, ὅτι ὑπῆρχεν ἄρχων Ἀθηναῖος, ὅστις ἦρχε δήμου ἑνὸς ὀνομαζομένου ἐξυποταιέως. οἱ γὰρ Ἀθηναῖοι ἦσαν μεμερισμένοι εἰς δήμους ὥσπερ νῦν οἱ Γεννουῖται εἰς τὰ καλούμενα παρ' αὐτῶν ἀρμπέργα. πᾶς γοῦν δῆμος εἶχεν ὄνομα ἴδιον ὥσπερ καὶ πᾶν ἀρμπέργον ἔχει ὄνομα ἴδιον, ὥσπερ Σπίνουλοι καὶ Ντόριοι καὶ καθεξῆς. ὑπῆρχον γοῦν καὶ εἰς τοὺς δήμους πάντας ἄρχοντες αὐτῶν, εἰς ἕκαστον δῆμον εἷς ἄρχων. δῆμος δὲ λέγεται πλῆθος λαοῦ καὶ συναγωγή. τοῦ γοῦν δήμου τοῦ ὀνομαζομένου ἐξυποταιέως ὑπῆρχεν ἄρχων ὁ Τεῦκρος οὗτος καὶ ἔλαβε τὸν δῆμον αὐτοῦ εἴτε μετὰ θελήματος τῶν ἄλλων Ἀθηναίων ἢ χωρὶς τοῦ θελήματος αὐτῶν — τοῦτο γὰρ οὐκ ἔστι φανερόν — καὶ ἐξῆλθεν ἀπὸ τῶν Ἀθηνῶν πρὸ χρόνων πολλῶν καὶ ἐπέρασεν εἰς τὴν ἀνατολὴν εἰς τὸν τόπον τοῦτον τῆς Τρωάδος πρὸ τοῦ ὀνομασθῆναι Τρωάδα καὶ πρὸ τοῦ κτισθῆναι πόλιν ἐν αὐτῇ. καὶ εὗρε γῆν πολλὴν καὶ ἀγαθὴν καὶ λιπαρὰν καὶ εὔκαρπον, ἥτις εἶχε καὶ ἐντόπιον γένος βαρβαρικὸν

9 Φανόδημος Dionys. Hal. 12. 20 ἐξύποταιέως Vat., ut cod. A. Dionysii (cf. Dion. Hal. ed. Jacoby. Lips. 1885); l. Ξυπεταιῶνος vel Ξυπεταιέως.

ὀλίγον. ἐκράτησε γοῦν καὶ ἐκυρίευσε τῆς χώρας ὅσην ἠπυδήθη καὶ ἔλαβεν ἀπὸ πρώτης προσβολῆς. καὶ μετὰ ταῦτα εἶχε πολέμους καθ᾽ ἑκάστην μετὰ τῶν ἐντοπίων βαρβάρων καὶ τῶν ἄλλων ἐθνῶν τῶν πλησίων τῆς χώρας αὐτοῦ, εἴτε διὰ τὸ λαβεῖν καὶ τὴν ἐπίλοιπον χώραν τῶν βαρβάρων εἴτε διὰ τὸ ἵστασθαι ἰσχυρῶς καὶ μὴ σαλεύεσθαι ἀπὸ τῆς χώρας ἣν ἔλαβε. ὡς οὖν εἶδεν ὁ Τεῦκρος οὗτος τὸν Δάρδανον καὶ τοὺς Ἕλληνας τοὺς μετ᾽ αὐτοῦ ὅτι ἐπέρασαν ἀπὸ τῆς Σαμοθρᾴκης καὶ ἤλθοσαν εἰς τὰ μέρη ἐκεῖνα τῆς χώρας αὐτοῦ, ἐχάρη σφόδρα καὶ ἐδέξατο αὐτοὺς ἀσπασίως, τὸ μὲν ὡς Ἕλληνας καὶ ἀπὸ τοῦ γένους αὐτοῦ, τὸ δὲ ἵνα ἔχῃ αὐτοὺς βοηθοὺς καὶ συμμάχους εἰς τὸν πόλεμον ὃν εἶχε καθ᾽ ἑκάστην ἡμέραν μετὰ τῶν βαρβάρων, τὸ δὲ τρίτον, ἵνα οἰκισθῇ ἡ χώρα αὐτοῦ. ἡ περισσοτέρα γὰρ ὑπῆρχεν ἔρημος διὰ ὀλιγότητα καὶ σπάνιν ἀνθρώπων. διὰ τὰς αἰτίας γοῦν ταύτας ἐδέξατο περιχαρῶς τὸν Δάρδανον καὶ τοὺς Ἕλληνας ὁ Τεῦκρος καὶ ἔδωκε πρὸς αὐτοὺς τὴν χώραν, ἵνα κατοικήσωσι καὶ κτίσωσι καὶ πόλεις καθὼς καὶ ἔκτισεν ὡς προείπομεν ὁ Δάρδανος τὴν πόλιν ἥντινα καὶ ὠνόμασεν

ξη'. ὅτι καὶ ἀπὸ τοῦ Δαρδάνου καὶ ἀπὸ τοῦ Τεύκρου ἡ χώρα τῶν Τρώων οἰκισθεῖσα ποιεῖ τοὺς Τρῶας καὶ τὰ ἀπόγονα αὐτῶν Ἕλληνας εἶναι.

Δάρδανον τὸ ὄνομα αὐτοῦ. καὶ ταῦτα μὲν λέγει ὁ Διονύσιος καὶ διηγεῖται περὶ τῆς Σαμοθρᾴκης εἰς ἀπόδειξιν καθὼς προεῖπον, ὅτι καὶ τῶν Τρώων τὸ γένος ὑπῆρχεν ἑλληνικόν, τὸ μὲν ἀπὸ τοῦ Τεύκρου τοῦ βασιλέως, ὅστις ὑπῆρχεν Ἀθηναῖος καὶ ἦλθε καὶ κατῴκησεν εἰς τὰ μέρη ταῦτα μετὰ τοῦ λαοῦ αὐτοῦ, τὸ δὲ ἀπὸ τοῦ Δαρδάνου καὶ τῶν Ἑλλήνων

ξη'. οἰκισθῆσα. ἀπόγωνα codd.

τῶν μετ' αὐτοῦ, οἵτινες ἐξῆλθον ἀπὸ τῆς Ἀρκαδίας καὶ κατῴκησαν πρῶτον εἰς τὴν Σαμοθρᾴκην καὶ μετὰ ταῦτα ἐξῆλθον καὶ κατῴκησαν μετὰ τοῦ Τεύκρου εἰς τοὺς τόπους ἐκείνους, ἵνα φανῇ διὰ πάντων, ὅτι καὶ οἱ Τρῶες καὶ τὰ ἀπόγονα αὐτῶν ἐκ γένους ἦσαν ἑλληνικοῦ καὶ τέλος γένηται συμπέρασμα ὅτι καὶ οἱ Ῥωμᾶνοι ἀπόγονα ὄντες τοῦ Αἰνείου καὶ τῶν ἄλλων Τρώων οἵτινες ἦσαν μετ' ἐκείνου ὅταν ἦλθεν εἰς τὴν Ἰταλίαν, οὔκ εἰσι βάρβαροι καὶ ἐθνικοὶ ἄνθρωποι καὶ ἀπαίδευτοι, ἀλλὰ Ἕλληνες καὶ Ἑλλήνων ἀπόγονα καὶ διὰ τοῦτο ἔντιμοι καὶ χρήσιμοι ἄνθρωποι. καὶ αὕτη ἐστὶν ἡ αἰτία δι' ἣν μνημονεύει τῆς Σαμοθρᾴκης ὡς εἴπομεν. ἡ δὲ ἑτέρα αἰτία δι' ἣν μνημονεύει πάλιν τῆς Σαμοθρᾴκης ἐν ἑτέρῳ τόπῳ τοῦ αὐτοῦ βιβλίου καὶ λόγου ἐστὶ διὰ εἴδωλα θεῶν τινων ἑλληνικῶν τρωικῶν ἅτινα μετεκόμισεν ὁ Αἰνείας ἀπὸ τῆς Τρωάδος εἰς τὴν Ἰταλίαν καὶ ἔθηκεν εἰς τὸ Λαιούνιον. καὶ ἀπὸ τοῦ Λαιουνίου οἱ ἀπόγονοι αὐτοῦ μετεκόμισαν πάλιν εἰς τὴν Ἄλβαν ἥντινα ἔκτισαν πόλιν μεγάλην· καὶ αὐτὰ τὰ εἴδωλα διὰ νυκτὸς ἔφυγον ἀπὸ τῆς Ἄλβας καὶ εὑρέθησαν εἰς τὸ Λαιούνιον. καὶ μετὰ πολλοὺς χρόνους εὑρέθησαν εἰς τὴν Ῥώμην, καθὼς λέγει οὕτως ὁ Διονύσιος. καὶ εἶδεν καὶ οὗτος ἐκεῖ εἰς τὴν Ῥώμην εἰς πολλοὺς ναοὺς οὐ τὰ καθολικὰ ἐκεῖνα καὶ πρῶτα εἴδωλα, ἀλλὰ τὰ ὁμοιώματα αὐτῶν ἤγουν τὰ εἴδωλα τῶν εἰδώλων τῶν πρώτων ἅτινα ἤγαγεν ὁ Αἰνείας ἀπὸ τῆς Τρωάδος ὡς εἴπομεν. βούλεται γοῦν ἵνα δείξῃ, ὅτι καὶ οἱ θεοὶ οὗτοι οἱ τρωικοὶ τοῦ Αἰνείου ἦσαν ἑλληνικοί, οἵτινες

ξθ'. ἑτέρα αἰτία δι' ἣν μνημονεύει τῆς Σαμοθρᾴκης ὁ Διονύσιος.

5. 7 ἀπόγωνα codd. 19 πάλι Vat.

ἤλθασιν ἀπὸ τῆς Ἀρκαδίας μετὰ τοῦ Δαρδάνου εἰς τὴν Σαμοθράκην καὶ μετὰ ταῦτα ἀπὸ τῆς Σαμοθράκης ἀπῆλθον μετὰ τοῦ Δαρδάνου εἰς τὰ μέρη τῆς Τρωάδος καὶ ἐτέθησαν εἰς τὴν Δάρδανον τὴν πόλιν ἣν ἔκτισεν ὁ Δάρδανος καὶ ὕστερον εἰς τὸ Ἴλιον ὅπερ λέγομεν Τρωάδα, καὶ ἀπὸ τῆς Τρωάδος εἰς τὸ Λαιούνιον καὶ ἀπὸ τοῦ Λαιουνίου εἰς τὴν Ῥώμην, ἵνα παντελῶς δείξῃ ὅτι καὶ τὸ γένος τῶν Ῥωμάνων καὶ ἡ πίστις καὶ οἱ θεοὶ καὶ αἱ θυσίαι τῶν θεῶν καὶ αἱ συνήθειαι ὅλαι τῆς πολιτείας ἦσαν ἀρχαῖα καὶ ἑλληνικὰ καὶ ἀποτελέσῃ τοὺς Ῥωμάνους τελείους καὶ καθολικοὺς Ἕλληνας διὰ πάντων. τοῦτο γάρ ἐστιν ὁ τέλειος καὶ πρῶτος καὶ καθολικὸς αὐτοῦ σκοπὸς ὡσὰν εἴπομεν ἄνωθεν. ἵνα οὖν εἴπημεν καὶ περὶ τούτου εἰς πλάτος, ἀρχόμεθα ἀπὸ τῆς ἀρχῆς τοῦ πολέμου τοῦ τρωικοῦ ἕως τῆς κτίσεως τῆς Ῥώμης καὶ τῆς διηγήσεως τῶν εἰδώλων τούτων. καὶ τότε μέλλομεν στήσειν τὸν λόγον τὸν περὶ τούτων.

ο'. περὶ τῆς ἁρπαγῆς τῆς Ἑλένης ὑπὸ Ἀλεξάνδρου τοῦ Πάριδος.

ὁ Ἀλέξανδρος ὁ Πάρις ὁ υἱὸς τοῦ Πριάμου ἀπῆλθεν εἰς τὴν Πελοπόνησον καὶ ἐδέξατο αὐτὸν ὁ Μενέλαος εἰς τὸν οἶκον αὐτοῦ καὶ ἐφιλοξένισεν αὐτὸν ὥσπερ θεόν. αὐτὸς δὲ ἠγάπησε τὴν Ἑλένην τὴν γυναῖκα αὐτοῦ καὶ ἥρπασε αὐτὴν καὶ ἔφυγεν. οἱ Ἕλληνες γοῦν μὴ ὑπομένοντες τὴν ἐντροπὴν αὐτῶν ταύτην ἐστράτευσαν ὅλοι καὶ ἀπῆλθον καὶ ἐπολέμουν τὴν Τρωάδα χρόνους δέκα καὶ οὐδὲν ἠδυνήθησαν μετὰ πολέμου ἵνα λάβωσιν αὐτήν.

οα'. περὶ τῆς κατασκευῆς τοῦ

καὶ τέλος κατασκευάζουσιν ἕνα ξύλινον ἵππον καὶ βάλλουσιν ἐν αὐτῷ

17 πότε μέλομεν Vat. ante ο'. habet V in marg.: περὶ τῆς ἀρχῆς τοῦ τρωικοῦ πολέμου ἕως τῆς κτίσεως τῆς Ῥώμης. ο'. ἑλλένης Vat. 25 ὅλλοι codd.

ἀνθρώπους ἑπτακοσίους καὶ μετ' αὐτῶν τὸν Μενέλαον τὸν ἄνδρα τῆς Ἑλένης. αὐτοὶ δὲ οἱ Ἕλληνες εἰσῆλθον εἰς τὰ πλοῖα αὐτῶν καὶ ἔδειξαν ὅτι φεύγουσιν καὶ ἀπέρχονται εἰς τὸν τόπον αὐτῶν· ἐκεῖνοι δὲ ἀπῆλθον καὶ ἔστησαν εἰς τὴν Τένεδον τὴν νῆσον. καὶ οἱ Τρῶες ἐχάρησαν· ἐξῆλθον γοῦν καὶ εἶδον τὸν ἵππον τὸν ξύλινον καὶ ἐθαύμασαν καὶ ἐφοβοῦντο, μήποτε ἔνι τίποτες ἐπιβουλή. ὅμως ἐνίκησεν ἡ βουλὴ τοῦ θεοῦ, ἥτις σαλεύει τὸν λογισμὸν τῶν ἀνθρώπων, ὅταν θέλῃ ἵνα ἀφανίσῃ αὐτούς, καὶ ἐκλέγονται τὴν χείρονα βουλὴν ἥτις ἔδοξεν αὐτοῖς τότε ὅτι ἐστὶν ἀρίστη καὶ βελτίστη βουλή, ἵνα βάλλωσιν τὸν ἵππον ἐκεῖνον ἐντὸς τῆς πόλεως εἰς καύχημα καὶ εἰς μνήμην ὅτι ἦλθόν ποτε οἱ Ἕλληνες εἰς τὴν Τρωάδα καὶ ἐπολέμησαν αὐτὴν δέκα χρόνους καὶ ἀνέστρεψαν ἄπρακτοι καὶ ἀφῆκαν καὶ τὸν ἵππον τὸν ξύλινον ἐκεῖνον ὥσπερ δῶρον τῇ Ἀθηνᾷ, ἥτις ἐῤῥύσατο αὐτοὺς ἀπὸ τοῦ θανάτου, καὶ ὑπέστρεψαν εἰς τὸν οἶκον αὐτῶν. ἐπεὶ γοῦν ὁ ἵππος διὰ τὸ μέγεθος οὐδὲν ἐχώρει εἰσελθεῖν διὰ τῆς πύλης τῆς πόλεως, χαλῶσιν τὸ τεῖχος καὶ εἰσάγουσιν αὐτὸν ἔνδον τῆς πόλεως. εἶτα ἐποίησαν θυσίαν εἰς τοὺς θεοὺς καὶ ἤρξαντο ἐσθίειν καὶ πίνειν μέχρι πολλοῦ. καὶ μετὰ ταῦτα ἔπεσον εἰς ὕπνον βαθὺν ὑπὸ τῆς ἀμεριμνίας καὶ τῆς χαρᾶς καὶ τῆς μέθης καὶ τῶν κόπων τῶν πολυχρονίων ἐκείνων. οἱ δὲ ἑπτακόσιοι ἄνδρες καὶ ὁ Μενέλαος ἐξελθόντες κρυπτῶς ἀνέβησαν εἰς τοὺς πύργους καὶ εὗρον αὐτοὺς ἀφυλάκτους καὶ ἐποίησαν φρυκτωρίας καὶ πυρσοὺς ἤγουν φανοὺς εἰς τὸν στόλον

ξυλίνου ἵππου δι' οὗ ἔλαβον τὴν Τρωάδα οἱ Ἕλληνες.

15. 16 αὐτὴν — ἀνέστρεψαν om. in textu, adscr. in marg. Vat.

ὅστις ὑπῆρχεν εἰς τὴν Τένεδον, καθὼς ἦσαν μετ' ἀλλήλων περὶ τούτου συμφωνηθέντες. οὕστινας τοὺς φανοὺς ἰδὼν ὁ στόλος ἦλθεν παραυτίκα καὶ οἱ περὶ τὸν Μενέλαον ἤνοιξαν τὰς πύλας καὶ ἐδέξαντο αὐτούς, οἵτινες εἰσελθόντες ἔβαλλον πῦρ εἰς μέρος ἓν τῆς πόλεως ἵνα θροήσωσι τὸν λαόν. εἶτα ἐποίουν εἴτι κακὸν εἰς τὴν πόλιν, ὥσπερ ἔμελλον ποιεῖν ἄνθρωποι ἐχθροὶ καὶ τεταλωπημένοι δέκα χρόνους εἰς τὸν πόλεμον τοῦτον. ἔσφαττον εἰς τοὺς ὕπνους, εἰς τὰς ὁδούς, εἰς τὰς οἰκίας τοὺς ταλαιπώρους Τρῶας καὶ τὰς γυναῖκας καὶ τὰ παιδία αὐτῶν καὶ διήρπαξον καὶ τὴν οὐσίαν αὐτῶν. ἐχειρώσαντο οὖν καὶ τὸν Πρίαμον καὶ τὸν οἶκον αὐτοῦ ὅλον καὶ τοὺς παῖδας αὐτοῦ καὶ τὰς θυγατέρας αὐτοῦ καὶ πλὴν τοῦ πατρὸς αὐτοῦ ὅλον τὸ γένος αὐτοῦ καὶ ὅλους τοὺς ἄρχοντας αὐτοῦ.

οβ'. περὶ τοῦ πατρὸς τοῦ Πριάμου τοῦ Λαομέδοντος ὅπως ἐπέρασεν εἰς Μιτυλήνην.

ὁ γὰρ πατὴρ αὐτοῦ ὁ Λαομέδων πρὸ τοῦ πολέμου ἐπέρασεν εἰς τὴν Μιτυλήνην καὶ ἔκτισε τὰ κτίσματα τὰ παλαιὰ ὅσα ὑπάρχωσιν ἐκεῖ καὶ ἀπέθανεν καὶ ἐτάφη ἐκεῖ. ἐβασίλευε γὰρ ἡ Τρωὰς ἀπὸ τῆς Σμύρνης καὶ αὐτῆς τῆς Σμύρνης τοῦ αἰγιαλοῦ ὅλου ἕως αὐτῆς τῆς Τρωάδος καὶ τῶν νήσων τῆς Χίου τῆς Μιτυλήνης καὶ τῆς Τενέδου.

ογ'. περὶ του Αἰνείου ὅπως ἀνέβη εἰς τὴν ἀκρόπολιν τῆς Τρωάδος, ὡς ἐνόησεν ὅτι εἰσήλθοσαν οἱ Ἕλληνες εἰς τὴν Τροίαν.

εἰς τὴν συμφορὰν ταύτης τῆς πόλεως οὐδὲν ἐνόησεν ἄλλος ἐκ τῶν ἀρχόντων εἰ μὴ μόνος ὁ Αἰνείας, ὡς δὲ λέγουσί τινες, ὅτι ἐνοεῖτο μετὰ τῶν Ἑλλήνων καὶ ἐγίνωσκε καὶ τὴν ἐπιβουλήν. ὅμως καθὼς λέγουσιν οἱ πλείονες ἐνόησε καὶ ἔλαβε τὸν οἶκον

8 τεταλαιπωρημένοι? οβ'. ἀπέθανεν pro ἐπέρασεν V; ἐπέρασεν corr. ex ἀπέθανεν Vat. 20 τῆς μύρνης. V. 23 ταύτας Vat. 24 ἐννόησεν codd.

αὐτοῦ καὶ τοὺς παῖδας αὐτοῦ καὶ τοὺς φίλους καὶ τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς γνωρίμους καὶ ἀνέβη εἰς τὴν ἀκρόπολιν τῆς Τρωάδος. ἀκρόπολις δέ ἐστιν ὅντινα καλοῦμεν ἡμεῖς λατινικῶς κουλάν. εἶχε γοῦν καὶ ἡ ἀκρόπολις ἐκλεκτοὺς καὶ ἀνδρείους στρατιώτας, καθώς ἐστιν ἡ τάξις. ἐκεῖ γὰρ ἦσαν τὰ χρήματα τῆς βασιλείας καὶ τὰ χρήματα τῶν ἀνθρώπων τῆς πόλεως καὶ εἴτι καλὸν καὶ τίμιον ὑπῆρχεν εἰς τὴν πόλιν, ἄργυρος καὶ χρυσὸς καὶ ἱματισμὸς καὶ οἱ θεοὶ αὐτῶν καὶ τὰ ἱερὰ ὅλα τῶν θεῶν καὶ τῶν εἰδώλων αὐτῶν. ἐλθὼν γοῦν ὁ *Αἰνείας* ὡπλίσθη καὶ αὐτὸς καὶ οἱ μετ' αὐτοῦ εἰς πόλεμον. οἱ γὰρ Ἕλληνες ἀφ' οὗ ἐχορτάσθησαν τῶν αἱμάτων καὶ τῶν σφαγῶν ἀνέβησαν ἵνα πολεμήσωσι καὶ τὴν ἀκρόπολιν, ἵνα λάβωσι καὶ τὸν πλοῦτον καὶ τοὺς θησαυροὺς τοὺς ὄντας εἰς ταύτην. ἐπολέμησαν γοῦν ἰσχυρῶς καὶ οἱ ἐντὸς τῆς ἀκροπόλεως Τρῶες μετὰ τοῦ *Αἰνείου* καὶ οἱ ἔξω Ἕλληνες μετὰ τοῦ *Νεοπτολέμου* τοῦ υἱοῦ τοῦ *Ἀχιλλέως*.

οδ'. φυγὴ τοῦ *Αἰνείου* ἀπὸ τῆς ἀκροπόλεως μετὰ ἀσφαλείας ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τῆς Τρωάδος.

ὁ γοῦν *Αἰνείας* ὡς εἶδε ὅτι ὁ *Νεοπτόλεμος* ὁρμᾷ ἰσχυρῶς μετὰ νέων ἀνθρώπων ἵνα ἀναβῇ εἰς τὸ τεῖχος, ἐφοβήθη σφόδρα καὶ εἰσέρχεται εἰς τὸν ναὸν τῶν εἰδώλων ὅστις ὑπῆρχεν εἰς τὴν ἀκρόπολιν ἐντὸς καὶ λαμβάνει τοὺς θεοὺς ὅσοι ἦσαν ἐκεῖ καὶ τὰ ἱερὰ τῶν θεῶν καὶ τὰ σκεύη τοῦ ναοῦ καὶ χρήματα καὶ πράγματα πολλὰ καὶ ἀνοίγει πύλας μικρὰς καὶ κεκρυμμένας εἰς τόπον ἄδηλον καὶ ἐκβάλλει πρῶτον τὸν πατέρα αὐτοῦ γέροντα ὄντα ἐπὶ ἁμάξης καὶ τοὺς γέροντας καὶ τὰς γυναῖκας

17. 18 *Αἰνείου* — *μετὰ τοῦ* desunt V. ubi unus versus videtur excidisse. 18 *ἀχιλέως* codd. 25 *τὰ* ante *πράγματα* Vat. 26 *ἀνοίγη* codd.

οἶδα δὲ πῶς ὠνόμασαν ταῦτα οὕτως οἱ Τοῦρκοι, στοχάζομαι δὲ ὅτι τὰ ζῶα ταῦτά εἰσιν εἰς πλῆθος εἰς τοὺς βουνοὺς τούτους ἄγρια καὶ κατοικοῦσιν ἐκεῖ. οἱ γὰρ Τοῦρκοι ἀπό τινος συμβάματος ὀνομάζουσι τὰ πράγματα πάντοτε. οὗτος ὁ Ἰδαῖος κατοικήσας εἰς τὰ ὄρη ταῦτα ἔκτισε ναὸν τῆς μητρὸς τῶν θεῶν τῶν ἑλληνικῶν καὶ ἀνυποστάτων.

ξα'. περὶ τῆς μητρὸς τῶν ἑλληνικῶν θεῶν τῆς Ῥέας καὶ περὶ τοῦ Κρόνου τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν υἱῶν αὐτῶν καὶ τῶν θυγατέρων.

μήτηρ δὲ τῶν θεῶν τούτων κατὰ τοὺς Ἕλληνάς ἐστιν ἡ Ῥέα. μυθεύονται γὰρ οἱ Ἕλληνες ὅτι πρῶτος θεὸς καὶ ἀρχαιότατός ἐστιν ὁ Κρόνος, ὃν εἴπομεν ὅτι λέγουσιν οἱ Λατῖνοι Σατοῦρνον. οὗτος ἔλαβε γυναῖκα τὴν Ῥέαν, ἥντινα λέγουσιν οἱ Λατῖνοι Ὄπιν. ἐγέννησε δὲ ἐξ αὐτῆς τρεῖς υἱοὺς καὶ τρεῖς θυγατέρας, τὸν Δία, ὅστις λατινικῶς λέγεται Γιούπιτερ, τὸν Ποσειδῶνα, ὄντινα λέγουσιν οἱ Λατῖνοι Νεμπτούνουμ, καὶ τὸν Ἅιδην ὅστις καὶ Πλούτων λέγεται — τοῦτον καλοῦσιν οἱ Λατῖνοι Ντίτεμ καὶ Πλουτόνεμ — καὶ τὴν Ἥραν ἥντινα καλοῦσιν ὡς εἴπομεν οἱ Λατῖνοι Γιουννόνεμ καὶ Ἑστίαν ἥντινα καλοῦσιν οἱ Λατῖνοι Βέστεμ καὶ τὴν Δήμητραν ἥντινα οἱ Λατῖνοι ὀνομάζουσι Σερέρεμ, ἧς καὶ ἐπεθύμησε τὴν μῖξιν ὁ Ἴασος καὶ διὰ τοῦτο ἐκεραυνώθη ὡς προείρηται εἰς τὴν Σαμοθρᾴκην καὶ ἀπέθανε. ὁ οὖν Ζεὺς ἔτι βασιλεύοντος τοῦ πατρὸς αὐτοῦ Κρόνου ἠγάπα ἐρωτικῶς τὴν ἀδελφὴν αὐτοῦ τὴν Ἥραν χρόνους τριακοσίους καὶ τέλος ἐμίγετο μετ' αὐτῆς κρυφίως καὶ ἐγέννησεν υἱὸν κυλλὸν ἤγουν τὸν ἰδιωτικῶς ὀνομαζόμενον κουτζὸν Ἥφαιστον λεγόμενον.

ξα'. κρώνου Vat. 21 ὠνομάζουσι V. 28 Ἥφεστον codd.

ξβ'. οὗτος ὁ Ἥφαιστος λατινικῶς λέγεται Βουλικάνος.

οὗτος δέ ἐστι θεὸς τοῦ πυρός. ὕστερον δὲ ἀφ' οὗ ἐξέβαλεν ὁ Ζεὺς τὸν ἑαυτοῦ πατέρα τὸν Κρόνον ἀπὸ τῆς ἀρχῆς καὶ ἐδέσμησεν αὐτὸν καὶ ἔῤῥιψεν εἰς τὸν Τάρταρον, διεμερίσατο τὴν ἐκείνου βασιλείαν μετὰ τῶν ἀδελφῶν.

ξγ'. μερισμὸς τῆς βασιλείας τοῦ Κρόνου ὑπὸ τῶν υἱῶν αὐτοῦ.

καὶ αὐτὸς μὲν ὡς πρωτότοκος ἔλαβε τὸν οὐρανὸν καὶ τὸν αἰθέρα ἤγουν τὸν τόπον τῶν ἀστέρων καὶ τὸν ἀέρα μέχρι τῆς ὄψεως τῆς γῆς. ὁ δὲ ἀδελφὸς αὐτοῦ ὁ δεύτερος ὁ Ποσειδῶν ἔλαβε τὸ πρόσωπον τῆς γῆς καὶ πᾶσαν τὴν θάλασσαν.

ξδ'. διὰ τί λέγεται Πλούτων ὁ Ἅιδης.

ὁ δὲ Ἅιδης ὅστις ὀνομάζεται καὶ Χάρων καὶ Πλούτων διότι ἀεὶ λαμβάνει καὶ οὐδέποτε δίδωσι — τοῦτο γάρ ἐστι τὸ πλουτεῖν τὸ πάντοτε λαμβάνειν καὶ μηδέποτε διδόναι — ἔλαβεν εἰς βασιλείαν τὰ ὑποκάτω τῆς γῆς καὶ τῆς θαλάσσης, ἃ καὶ ὑποχθόνια καὶ καταχθόνια λέγονται. τὴν δὲ Ἥραν τὴν ἐρωμένην καὶ ἠγαπημένην αὐτοῦ ὁ Ζεὺς ἔλαβε καθαρῶς καὶ φανερῶς εἰς γυναῖκα, ἐπειδὴ πλέον οὐκ ἐφοβεῖτο τὸν πατέρα αὐτοῦ. ἡ δὲ Ἑστία καὶ ἡ Δημήτηρ αἱ δύο ἀδελφαὶ κατελείφθησαν ἀκληρονόμητοι καὶ ἀπόκληροι τῆς βασιλείας τοῦ πατρὸς αὐτῶν. ὅμως ὑπάρχουσι καὶ αὗται θεαί, ἐπειδή εἰσιν ἀπὸ τοῦ γένους τοῦ θεϊκοῦ καὶ ἔχουσι δυνάμεις καὶ ἐνεργείας μεγάλας.

ξε'. τίς ἐστιν η δύναμις τῆς θεᾶς τῆς Ἑστίας καὶ τῆς θεᾶς τῆς Δήμητρος.

ἡ μὲν Ἑστία ἔχει δύναμιν φυλάττειν καὶ σκέπειν τὰς πόλεις καὶ τοὺς οἴκους τῶν ἀνθρώπων. διὰ τοῦτο οἱ παλαιοὶ ὅταν ἔκτιζον πόλιν, τὸν πρῶτον ναὸν παρὸ τῶν ἄλλων θεῶν ἔκτιζον τῆς Ἑστίας εἰς φυλακὴν καὶ σκέπην τῆς πόλεως καὶ ἐφύλαττον ἐν αὐτῷ πῦρ ἄσβεστον δι'

ξβ'. Ἥφεστος codd. 15 ὑπὸ κάτω V. 21 ὅμως deest V.

ὅλου τοῦ χρόνου ἁπτόμενον καὶ φυλαττόμενον ἵνα μὴ σβέσῃ ὑπὸ παρθένων γυναικῶν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐπὶ παντὸς οἴκου ἀνθρώπου ἐν ᾧ ἅπτεται πῦρ, ὁ τόπος ἐκεῖνος ἑστία καλεῖται καὶ τὸ πῦρ ἐκεῖνο τῆς Ἑστίας λέγεται. ἡ γὰρ λεγομένη βαρβαρικῶς παραστία, παρὰ δέ τινων πυροστία αὐτὸ τοῦτο σημαίνει ὅπερ εἶπον ἄνωθεν. πῦρ γὰρ Ἑστίας ὀφεῖλον λέγεσθαι βαρβαρωθὲν πυροστία λέγεται, ὥστε ὁ τόπος ἐν ᾧ ἅπτεται εἰς ἕκαστον οἶκον τὸ πῦρ ὥσπερ ναός ἐστι τῆς Ἑστίας καὶ τὸ ἐν αὐτῷ πῦρ πῦρ τῆς Ἑστίας λέγεται. ἡ δὲ Δημήτηρ, δι' ἣν ἐκάη ὁ Ἴασος, θεά ἐστι τῆς γεωργίας καὶ τῶν καρπῶν ἁπάντων τῆς γῆς καὶ ταύτην τιμῶσιν οἱ γεωργοὶ καὶ οἱ ἀπὸ τῆς γῆς βουλόμενοι τρέφεσθαι καὶ πλουτεῖν. ἀπὸ τοῦ Διὸς γοῦν καὶ ἀπὸ τῶν ἄλλων θεῶν ὧν εἴπομεν ἀῤῥενικῶν καὶ θηλειῶν ἐγένετο πλῆθος θεῶν καὶ ἡμιθέων, ὧν ἁπάντων ἐστὶ μήτηρ καὶ προμήτωρ ἡ Ῥέα ἡ γυνὴ τοῦ Κρόνου, ὥσπερ ἐστὶ ἡμῶν τῶν ἀνθρώπων ἡ Εὔα. ταύτης οὖν τῆς Ῥέας τῆς μητρὸς τῶν θεῶν ἔκτισεν ναὸν ὁ Ἰδαῖος εἰς τὰ ὄρη τὰ Ἰδαῖα εἰς ἃ κατῴκησεν, καὶ κατέστησε καὶ ἐνομοθέτησε θυσίας καὶ ἑορτὰς καὶ τιμὰς τῆς θεᾶς ταύτης, αἵτινες καθὼς λέγει ὁ ἱστορικὸς οὗτος διέμενον καὶ ἐγίνοντο καὶ ἕως τῆς ἡμέρας αὐτοῦ καθὼς ἐνομοθέτησε ταύτας ὁ Ἰδαῖος. καὶ ὁ μὲν Ἰδαῖος οὕτως ἐποίησε καὶ εἰς τοὺς τόπους τούτους κατῴκησε. ὁ δὲ πατὴρ αὐτοῦ ὁ Δάρδανος κατῴκησεν ἐντὸς τοῦ στενοῦ εἰς τὸν αἰγιαλὸν πλησίον τῆς γῆς τῆς ὕστερον ὀνομασθείσης Τρῳάδος καὶ ἔκτισε πόλιν ἐν τῷ

ξς'. ὅτι ἡ πυροστία πῦρ τῆς Ἑστίας λέγεται.

ξζ'. περὶ τοῦ Δαρδάνου ὅπως κατῴκησεν εἰς τὸν Ἑλλήσποντον καὶ ἔκτισε καὶ πόλιν Δάρδανον.

23 διέμεινον V. 28. 29 ὀνομασθούσης V.

τόπῳ τούτῳ καὶ ὠνόμασεν αὐτὴν ἀπὸ τοῦ ὀνόματος αὐτοῦ Δάρδανον. τὸν τόπον γοῦν τοῦτον ἔνθα κατῴκησεν καὶ εἰς ὅντινα ἔκτισε τὴν πόλιν, ἐχαρίσατο αὐτῷ ἵνα κατοικήσῃ ὁ βασιλεὺς τῆς χώρας ἐκείνης ὁ Τεῦκρος. οὗτος γὰρ ὑπῆρχε τότε βασιλεὺς τοῦ τόπου ἐκείνου καὶ ὠνομάζετο καὶ ἡ χώρα ἀπὸ τοῦ ὀνόματος αὐτοῦ Τευκρίς. τοῦτον τὸν Τεῦκρον τὸν βασιλέα λέγουσι καὶ ἄλλοι πολλοὶ ἱστορικοὶ καὶ μάλιστα ὁ Φανίδημος, ὅστις ἔγραψε τὴν παλαιὰν ἱστορίαν τῶν Ἀθηναίων καὶ τοῦ τόπου τῶν Ἀθηνῶν, ὅτι ὑπῆρχεν ἄρχων Ἀθηναῖος, ὅστις ἦρχε δήμου ἑνὸς ὀνομαζομένου ἐξυποταιέως. οἱ γὰρ Ἀθηναῖοι ἦσαν μεμερισμένοι εἰς δήμους ὥσπερ νῦν οἱ Γεννουῖται εἰς τὰ καλούμενα παρ' αὐτῶν ἀρμπέργα. πᾶς γοῦν δῆμος εἶχεν ὄνομα ἴδιον ὥσπερ καὶ πᾶν ἀρμπέργον ἔχει ὄνομα ἴδιον, ὥσπερ Σπίνουλοι καὶ Ντόριοι καὶ καθεξῆς. ὑπῆρχον γοῦν καὶ εἰς τοὺς δήμους πάντας ἄρχοντες αὐτῶν, εἰς ἕκαστον δῆμον εἷς ἄρχων. δῆμος δὲ λέγεται πλῆθος λαοῦ καὶ συναγωγή. τοῦ γοῦν δήμου τοῦ ὀνομαζομένου ἐξυποταιέως ὑπῆρχεν ἄρχων ὁ Τεῦκρος οὗτος καὶ ἔλαβε τὸν δῆμον αὐτοῦ εἴτε μετὰ θελήματος τῶν ἄλλων Ἀθηναίων ἢ χωρὶς τοῦ θελήματος αὐτῶν — τοῦτο γὰρ οὐκ ἔστι φανερόν — καὶ ἐξῆλθεν ἀπὸ τῶν Ἀθηνῶν πρὸ χρόνων πολλῶν καὶ ἐπέρασεν εἰς τὴν ἀνατολὴν εἰς τὸν τόπον τοῦτον τῆς Τρωάδος πρὸ τοῦ ὀνομασθῆναι Τρωάδα καὶ πρὸ τοῦ κτισθῆναι πόλιν ἐν αὐτῇ. καὶ εὗρε γῆν πολλὴν καὶ ἀγαθὴν καὶ λιπαρὰν καὶ εὔκαρπον, ἥτις εἶχε καὶ ἐντόπιον γένος βαρβαρικὸν

9 *Φανόδημος* Dionys. Hal. 12. 20 *ἐξύποταιέως* Vat., ut cod. A. Dionysii (cf. Dion. Hal. ed. Jacoby. Lips. 1885); l. *Ξυπεταιῶνος* vel *Ξυπεταιέως*.

ὀλίγον. ἐκράτησε γοῦν καὶ ἐκυρίευσε τῆς χώρας ὅσην ἠπυδήθη καὶ ἔλαβεν ἀπὸ πρώτης προσβολῆς. καὶ μετὰ ταῦτα εἶχε πολέμους καθ' ἑκάστην μετὰ τῶν ἐντοπίων βαρβάρων καὶ τῶν ἄλλων ἐθνῶν τῶν πλησίων τῆς χώρας αὐτοῦ, εἴτε διὰ τὸ λαβεῖν καὶ τὴν ἐπίλοιπον χώραν τῶν βαρβάρων εἴτε διὰ τὸ ἵστασθαι ἰσχυρῶς καὶ μὴ σαλεύεσθαι ἀπὸ τῆς χώρας ἣν ἔλαβε. ὡς οὖν εἶδεν ὁ Τεῦκρος οὗτος τὸν Δάρδανον καὶ τοὺς Ἕλληνας τοὺς μετ' αὐτοῦ ὅτι ἐπέρασαν ἀπὸ τῆς Σαμοθρᾴκης καὶ ἦλθοσαν εἰς τὰ μέρη ἐκεῖνα τῆς χώρας αὐτοῦ, ἐχάρη σφόδρα καὶ ἐδέξατο αὐτοὺς ἀσπασίως, τὸ μὲν ὡς Ἕλληνας καὶ ἀπὸ τοῦ γένους αὐτοῦ, τὸ δὲ ἵνα ἔχῃ αὐτοὺς βοηθοὺς καὶ συμμάχους εἰς τὸν πόλεμον ὃν εἶχε καθ' ἑκάστην ἡμέραν μετὰ τῶν βαρβάρων, τὸ δὲ τρίτον, ἵνα οἰκισθῇ ἡ χώρα αὐτοῦ. ἡ περισσοτέρα γὰρ ὑπῆρχεν ἔρημος διὰ ὀλιγότητα καὶ σπάνιν ἀνθρώπων. διὰ τὰς αἰτίας γοῦν ταύτας ἐδέξατο περιχαρῶς τὸν Δάρδανον καὶ τοὺς Ἕλληνας ὁ Τεῦκρος καὶ ἔδωκε πρὸς αὐτοὺς τὴν χώραν, ἵνα κατοικήσωσι καὶ κτίσωσι καὶ πόλεις καθὼς καὶ ἔκτισεν ὡς προείπομεν ὁ Δάρδανος τὴν πόλιν ἥντινα καὶ ὠνόμασεν Δάρδανον τὸ ὄνομα αὐτοῦ. καὶ ταῦτα μὲν λέγει ὁ Διονύσιος καὶ διηγεῖται περὶ τῆς Σαμοθρᾴκης εἰς ἀπόδειξιν καθὼς προεῖπον, ὅτι καὶ τῶν Τρώων τὸ γένος ὑπῆρχεν ἑλληνικόν, τὸ μὲν ἀπὸ τοῦ Τεύκρου τοῦ βασιλέως, ὅστις ὑπῆρχεν Ἀθηναῖος καὶ ἦλθε καὶ κατῴκησεν εἰς τὰ μέρη ταῦτα μετὰ τοῦ λαοῦ αὐτοῦ, τὸ δὲ ἀπὸ τοῦ Δαρδάνου καὶ τῶν Ἑλλήνων

ξη'. ὅτι καὶ ἀπὸ τοῦ Δαρδάνου καὶ ἀπὸ τοῦ Τεύκρου ἡ χώρα τῶν Τρώων οἰκισθεῖσα ποιεῖ τοὺς Τρῶας καὶ τὰ ἀπόγονα αὐτῶν Ἕλληνας εἶναι.

ξη'. οἰκισθῆσα. ἀπόγωνα codd.

τῶν μετ' αὐτοῦ, οἵτινες ἐξῆλθον ἀπὸ τῆς Ἀρκαδίας καὶ κατῴκησαν πρῶτον εἰς τὴν Σαμοθράκην καὶ μετὰ ταῦτα ἐξῆλθον καὶ κατῴκησαν μετὰ τοῦ Τεύκρου εἰς τοὺς τόπους ἐκείνους, ἵνα φανῇ διὰ πάντων, ὅτι καὶ οἱ Τρῶες καὶ τὰ ἀπόγονα αὐτῶν ἐκ γένους ἦσαν ἑλληνικοῦ καὶ τέλος γένηται συμπέρασμα ὅτι καὶ οἱ Ῥωμᾶνοι ἀπόγονα ὄντες τοῦ Αἰνείου καὶ τῶν ἄλλων Τρώων οἵτινες ἦσαν μετ' ἐκείνου ὅταν ἦλθεν εἰς τὴν Ἰταλίαν, οὔκ εἰσι βάρβαροι καὶ ἐθνικοὶ ἄνθρωποι καὶ ἀπαίδευτοι, ἀλλὰ Ἕλληνες καὶ Ἑλλήνων ἀπόγονα καὶ διὰ τοῦτο ἔντιμοι καὶ χρήσιμοι ἄνθρωποι. καὶ αὕτη ἐστὶν ἡ αἰτία δι' ἣν μνημονεύει τῆς Σαμοθράκης ὡς εἴπομεν.

ξθ'. ἑτέρα αἰτία δι' ἣν μνημονεύει τῆς Σαμοθράκης ὁ Διονύσιος.

ἡ δὲ ἑτέρα αἰτία δι' ἣν μνημονεύει πάλιν τῆς Σαμοθράκης ἐν ἑτέρῳ τόπῳ τοῦ αὐτοῦ βιβλίου καὶ λόγου ἐστὶ διὰ εἴδωλα θεῶν τινων ἑλληνικῶν τρωικῶν ἅτινα μετεκόμισεν ὁ Αἰνείας ἀπὸ τῆς Τρωάδος εἰς τὴν Ἰταλίαν καὶ ἔθηκεν εἰς τὸ Λαιούνιον. καὶ ἀπὸ τοῦ Λαιουνίου οἱ ἀπόγονοι αὐτοῦ μετεκόμισαν πάλιν εἰς τὴν Ἄλβαν ἥντινα ἔκτισαν πόλιν μεγάλην· καὶ αὐτὰ τὰ εἴδωλα διὰ νυκτὸς ἔφυγον ἀπὸ τῆς Ἄλβας καὶ εὑρέθησαν εἰς τὸ Λαιούνιον. καὶ μετὰ πολλοὺς χρόνους εὑρέθησαν εἰς τὴν Ῥώμην, καθὼς λέγει οὕτως ὁ Διονύσιος. καὶ εἶδεν καὶ οὗτος ἐκεῖ εἰς τὴν Ῥώμην εἰς πολλοὺς ναοὺς οὐ τὰ καθολικὰ ἐκεῖνα καὶ πρῶτα εἴδωλα, ἀλλὰ τὰ ὁμοιώματα αὐτῶν ἤγουν τὰ εἴδωλα τῶν εἰδώλων τῶν πρώτων ἅτινα ἤγαγεν ὁ Αἰνείας ἀπὸ τῆς Τρωάδος ὡς εἴπομεν. βούλεται γοῦν ἵνα δείξῃ, ὅτι καὶ οἱ θεοὶ οὗτοι οἱ τρωικοὶ τοῦ Αἰνείου ἦσαν ἑλληνικοί, οἵτινες

5. 7 ἀπόγωνα codd. 19 πάλι Vat.

ἤλθασιν ἀπὸ τῆς Ἀρκαδίας μετὰ τοῦ Δαρδάνου εἰς τὴν Σαμοθρᾴκην καὶ μετὰ ταῦτα ἀπὸ τῆς Σαμοθρᾴκης ἀπῆλθον μετὰ τοῦ Δαρδάνου εἰς τὰ μέρη τῆς Τρωάδος καὶ ἐτέθησαν εἰς τὴν Δάρδανον τὴν πόλιν ἣν ἔκτισεν ὁ Δάρδανος καὶ ὕστερον εἰς τὸ Ἴλιον ὅπερ λέγομεν Τρωάδα, καὶ ἀπὸ τῆς Τρωάδος εἰς τὸ Λαιούνιον καὶ ἀπὸ τοῦ Λαιουνίου εἰς τὴν Ῥώμην, ἵνα παντελῶς δείξῃ ὅτι καὶ τὸ γένος τῶν Ῥωμάνων καὶ ἡ πίστις καὶ οἱ θεοὶ καὶ αἱ θυσίαι τῶν θεῶν καὶ αἱ συνήθειαι ὅλαι τῆς πολιτείας ἦσαν ἀρχαῖα καὶ ἑλληνικὰ καὶ ἀποτελέσῃ τοὺς Ῥωμάνους τελείους καὶ καθολικοὺς Ἕλληνας διὰ πάντων. τοῦτο γάρ ἐστιν ὁ τέλειος καὶ πρῶτος καὶ καθολικὸς αὐτοῦ σκοπὸς ὡσὰν εἴπομεν ἄνωθεν. ἵνα οὖν εἴπημεν καὶ περὶ τούτου εἰς πλάτος, ἀρχόμεθα ἀπὸ τῆς ἀρχῆς τοῦ πολέμου τοῦ τρωικοῦ ἕως τῆς κτίσεως τῆς Ῥώμης καὶ τῆς διηγήσεως τῶν εἰδώλων τούτων. καὶ τότε μέλλομεν στήσειν τὸν λόγον τὸν περὶ τούτων.

ο'. περὶ τῆς ἁρπαγῆς τῆς Ἑλένης ὑπὸ Ἀλεξάνδρου τοῦ Πάριδος.

ὁ Ἀλέξανδρος ὁ Πάρις ὁ υἱὸς τοῦ Πριάμου ἀπῆλθεν εἰς τὴν Πελοπόνησον καὶ ἐδέξατο αὐτὸν ὁ Μενέλαος εἰς τὸν οἶκον αὐτοῦ καὶ ἐφιλοξένισεν αὐτὸν ὥσπερ θεόν. αὐτὸς δὲ ἠγάπησε τὴν Ἑλένην τὴν γυναῖκα αὐτοῦ καὶ ἥρπασε αὐτὴν καὶ ἔφυγεν. οἱ Ἕλληνες γοῦν μὴ ὑπομένοντες τὴν ἐντροπὴν αὐτῶν ταύτην ἐστράτευσαν ὅλοι καὶ ἀπῆλθον καὶ ἐπολέμουν τὴν Τρωάδα χρόνους δέκα καὶ οὐδὲν ἠδυνήθησαν μετὰ πολέμου ἵνα λάβωσιν αὐτήν.

οα'. περὶ τῆς κατασκευῆς τοῦ

καὶ τέλος κατασκευάζουσιν ἕνα ξύλινον ἵππον καὶ βάλλουσιν ἐν αὐτῷ

17 πότε μέλομεν Vat. ante ο'. habet V in marg.: περὶ τῆς ἀρχῆς τοῦ τρωικοῦ πολέμου ἕως τῆς κτίσεως τῆς Ῥώμης. ο'. ἑλλένης Vat. 25 ὅλλοι codd.

ἀνθρώπους ἑπτακοσίους καὶ μετ' αὐτῶν τὸν Μενέλαον τὸν ἄνδρα τῆς Ἑλένης. αὐτοὶ δὲ οἱ Ἕλληνες εἰσῆλθον εἰς τὰ πλοῖα αὐτῶν καὶ ἔδειξαν ὅτι φεύγουσιν καὶ ἀπέρχονται εἰς τὸν τόπον αὐτῶν· ἐκεῖνοι δὲ ἀπῆλθον καὶ ἔστησαν εἰς τὴν Τένεδον τὴν νῆσον. καὶ οἱ Τρῶες ἐχάρησαν· ἐξῆλθον γοῦν καὶ εἶδον τὸν ἵππον τὸν ξύλινον καὶ ἐθαύμασαν καὶ ἐφοβοῦντο, μήποτε ἔνι τίποτες ἐπιβουλή. ὅμως ἐνίκησεν ἡ βουλὴ τοῦ θεοῦ, ἥτις σαλεύει τὸν λογισμὸν τῶν ἀνθρώπων, ὅταν θέλῃ ἵνα ἀφανίσῃ αὐτούς, καὶ ἐκλέγονται τὴν χείρονα βουλὴν ἥτις ἔδοξεν αὐτοῖς τότε ὅτι ἐστὶν ἀρίστη καὶ βελτίστη βουλή, ἵνα βάλλωσιν τὸν ἵππον ἐκεῖνον ἐντὸς τῆς πόλεως εἰς καύχημα καὶ εἰς μνήμην ὅτι ἦλθόν ποτε οἱ Ἕλληνες εἰς τὴν Τρωάδα καὶ ἐπολέμησαν αὐτὴν δέκα χρόνους καὶ ἀνέστρεψαν ἄπρακτοι καὶ ἀφῆκαν καὶ τὸν ἵππον τὸν ξύλινον ἐκεῖνον ὥσπερ δῶρον τῇ Ἀθηνᾷ, ἥτις ἐῤῥύσατο αὐτοὺς ἀπὸ τοῦ θανάτου, καὶ ὑπέστρεψαν εἰς τὸν οἶκον αὐτῶν. ἐπεὶ γοῦν ὁ ἵππος διὰ τὸ μέγεθος οὐδὲν ἐχώρει εἰσελθεῖν διὰ τῆς πύλης τῆς πόλεως, χαλῶσιν τὸ τεῖχος καὶ εἰσάγουσιν αὐτὸν ἔνδον τῆς πόλεως. εἶτα ἐποίησαν θυσίαν εἰς τοὺς θεοὺς καὶ ἤρξαντο ἐσθίειν καὶ πίνειν μέχρι πολλοῦ. καὶ μετὰ ταῦτα ἔπεσον εἰς ὕπνον βαθὺν ὑπὸ τῆς ἀμεριμνίας καὶ τῆς χαρᾶς καὶ τῆς μέθης καὶ τῶν κόπων τῶν πολυχρονίων ἐκείνων. οἱ δὲ ἑπτακόσιοι ἄνδρες καὶ ὁ Μενέλαος ἐξελθόντες κρυπτῶς ἀνέβησαν εἰς τοὺς πύργους καὶ εὗρον αὐτοὺς ἀφυλάκτους καὶ ἐποίησαν φρυκτωρίας καὶ πυρσοὺς ἤγουν φανοὺς εἰς τὸν στόλον

ξυλίνου ἵππου δι' οὗ ἔλαβον τὴν Τρωάδα οἱ Ἕλληνες.

15. 16 αὐτὴν — ἀνέστρεψαν om. in textu, adscr. in marg. Vat.

ὅστις ὑπῆρχεν εἰς τὴν Τένεδον, καθὼς ἦσαν μετ' ἀλλήλων περὶ τούτου συμφωνηθέντες. οὕστινας τοὺς φανοὺς ἰδὼν ὁ στόλος ἦλθεν παραυτίκα καὶ οἱ περὶ τὸν Μενέλαον ἤνοιξαν τὰς πύλας καὶ ἐδέξαντο αὐτούς, οἵτινες εἰσελθόντες ἔβαλλον πῦρ εἰς μέρος ἓν τῆς πόλεως ἵνα θροήσωσι τὸν λαόν. εἶτα ἐποίουν εἴτι κακὸν εἰς τὴν πόλιν, ὥσπερ ἔμελλον ποιεῖν ἄνθρωποι ἐχθροὶ καὶ τεταλωπημένοι δέκα χρόνους εἰς τὸν πόλεμον τοῦτον. ἔσφαττον εἰς τοὺς ὕπνους, εἰς τὰς ὁδούς, εἰς τὰς οἰκίας τοὺς ταλαιπώρους Τρῶας καὶ τὰς γυναῖκας καὶ τὰ παιδία αὐτῶν καὶ διήρπαξον καὶ τὴν οὐσίαν αὐτῶν. ἐχειρώσαντο οὖν καὶ τὸν Πρίαμον καὶ τὸν οἶκον αὐτοῦ ὅλον καὶ τοὺς παῖδας αὐτοῦ καὶ τὰς θυγατέρας αὐτοῦ καὶ πλὴν τοῦ πατρὸς αὐτοῦ ὅλον τὸ γένος αὐτοῦ καὶ ὅλους τοὺς ἄρχοντας αὐτοῦ.

οβ'. περὶ τοῦ πατρὸς τοῦ Πριάμου τοῦ Λαομέδοντος ὅπως ἐπέρασεν εἰς Μιτυλήνην.

ὁ γὰρ πατὴρ αὐτοῦ ὁ Λαομέδων πρὸ τοῦ πολέμου ἐπέρασεν εἰς τὴν Μιτυλήνην καὶ ἔκτισε τὰ κτίσματα τὰ παλαιὰ ὅσα ὑπάρχωσιν ἐκεῖ καὶ ἀπέθανεν καὶ ἐτάφη ἐκεῖ. ἐβασίλευε γὰρ ἡ Τρωὰς ἀπὸ τῆς Σμύρνης καὶ αὐτῆς τῆς Σμύρνης τοῦ αἰγιαλοῦ ὅλου ἕως αὐτῆς τῆς Τρωάδος καὶ τῶν νήσων τῆς Χίου τῆς Μιτυλήνης καὶ τῆς Τενέδου.

ογ'. περὶ του Αἰνείου ὅπως ἀνέβη εἰς τὴν ἀκρόπολιν τῆς Τρωάδος, ὡς ἐνόησεν ὅτι εἰσήλθοσαν οἱ Ἕλληνες εἰς τὴν Τροίαν.

εἰς τὴν συμφορὰν ταύτης τῆς πόλεως οὐδὲν ἐνόησεν ἄλλος ἐκ τῶν ἀρχόντων εἰ μὴ μόνος ὁ Αἰνείας, ὡς δὲ λέγουσί τινες, ὅτι ἐνοεῖτο μετὰ τῶν Ἑλλήνων καὶ ἐγίνωσκε καὶ τὴν ἐπιβουλήν. ὅμως καθὼς λέγουσιν οἱ πλείονες ἐνόησε καὶ ἔλαβε τὸν οἶκον

8 τεταλαιπωρημένοι? οβ'. ἀπέθανεν pro ἐπέρασεν V; ἐπέρασεν corr. ex ἀπέθανεν Vat. 20 τῆς μύρνης. V. 23 ταύτας Vat. 24 ἐννόησεν codd.

αὐτοῦ καὶ τοὺς παῖδας αὐτοῦ καὶ τοὺς φίλους καὶ τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς γνωρίμους καὶ ἀνέβη εἰς τὴν ἀκρόπολιν τῆς Τρωάδος. ἀκρόπολις δέ ἐστιν ὅντινα καλοῦμεν ἡμεῖς λατινικῶς κουλάν. εἶχε γοῦν καὶ ἡ ἀκρόπολις ἐκλεκτοὺς καὶ ἀνδρείους στρατιώτας, καθὼς ἐστιν ἡ τάξις. ἐκεῖ γὰρ ἦσαν τὰ χρήματα τῆς βασιλείας καὶ τὰ χρήματα τῶν ἀνθρώπων τῆς πόλεως καὶ εἴτι καλὸν καὶ τίμιον ὑπῆρχεν εἰς τὴν πόλιν, ἄργυρος καὶ χρυσὸς καὶ ἱματισμὸς καὶ οἱ θεοὶ αὐτῶν καὶ τὰ ἱερὰ ὅλα τῶν θεῶν καὶ τῶν εἰδώλων αὐτῶν. ἐλθὼν γοῦν ὁ Αἰνείας ὡπλίσθη καὶ αὐτὸς καὶ οἱ μετ' αὐτοῦ εἰς πόλεμον. οἱ γὰρ Ἕλληνες ἀφ' οὗ ἐχορτάσθησαν τῶν αἱμάτων καὶ τῶν σφαγῶν ἀνέβησαν ἵνα πολεμήσωσι καὶ τὴν ἀκρόπολιν, ἵνα λάβωσι καὶ τὸν πλοῦτον καὶ τοὺς θησαυροὺς τοὺς ὄντας εἰς ταύτην. ἐπολέμησαν γοῦν ἰσχυρῶς καὶ οἱ ἐντὸς τῆς ἀκροπόλεως Τρῶες μετὰ τοῦ Αἰνείου καὶ οἱ ἔξω Ἕλληνες μετὰ τοῦ Νεοπτολέμου τοῦ υἱοῦ τοῦ Ἀχιλλέως.

οδ'. φυγὴ τοῦ Αἰνείου ἀπὸ τῆς ἀκροπόλεως μετὰ ἀσφαλείας ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τῆς Τρωάδος.

ὁ γοῦν Αἰνείας ὡς εἶδε ὅτι ὁ Νεοπτόλεμος ὁρμᾷ ἰσχυρῶς μετὰ νέων ἀνθρώπων ἵνα ἀναβῇ εἰς τὸ τεῖχος, ἐφοβήθη σφόδρα καὶ εἰσέρχεται εἰς τὸν ναὸν τῶν εἰδώλων ὅστις ὑπῆρχεν εἰς τὴν ἀκρόπολιν ἐντὸς καὶ λαμβάνει τοὺς θεοὺς ὅσοι ἦσαν ἐκεῖ καὶ τὰ ἱερὰ τῶν θεῶν καὶ τὰ σκεύη τοῦ ναοῦ καὶ χρήματα καὶ πράγματα πολλὰ καὶ ἀνοίγει πύλας μικρὰς καὶ κεκρυμμένας εἰς τόπον ἄδηλον καὶ ἐκβάλλει πρῶτον τὸν πατέρα αὐτοῦ γέροντα ὄντα ἐπὶ ἁμάξης καὶ τοὺς γέροντας καὶ τὰς γυναῖκας

17. 18 *Αἰνείου* — *μετὰ τοῦ* desunt V. ubi unus versus videtur excidisse. 18 *ἀχιλέως* codd. 25 *τὰ* ante *πράγματα* Vat. 26 *ἀνοίγη* codd.

καὶ τὰ παιδία ὅλους ἔμπροσθεν, αὐτὸς δὲ μετὰ τῶν στρατιωτῶν καὶ τῶν νέων ἀνθρώπων ἐξοπίσω διὰ ἀσφάλειαν. οἱ Ἕλληνες γοῦν μὴ εἰδότες τὸ γεγονὸς διὰ ὀλίγου χρόνου ἀναβαίνουσιν εἰς τὸ τεῖχος καὶ εὑρίσκουσι τὴν ἀκρόπολιν ἔρημον ἀνθρώπων, πλὴν ηὕρασιν χρήματα πολλὰ καὶ ἔπεσον εἰς διαρπαγήν. καὶ τοῦτο ἐποίησεν ἄδειαν μεγάλην τοῖς οὖσι μετὰ τοῦ Αἰνείου καὶ ἔφυγον εἰς τὰ ὄρη τὰ ὑψηλὰ καὶ ἐκάθηντο μετὰ μεγάλης προσοχῆς καὶ ἐσυνήχθησαν καὶ ἀπὸ τοὺς κύκλῳ τόπους ἐκεῖ πολλοὶ ἄνθρωποι καὶ ἐγένοντο φοσσάτον ἱκανόν.

οε΄. συμβίβασις Ἑλλήνων καὶ τοῦ Αἰνείου καὶ χρησμὸς ὃν ἔλαβε παρὰ τῶν θεῶν ὁ Αἰνείας περὶ τῆς ἀποδημίας αὐτοῦ.

ὕστερον γοῦν ἔστειλαν ἀποκρισιαρίους εἰς τοὺς Ἕλληνας καὶ ἦλθοσαν εἰς συμφωνίαν, ἵνα λάβῃ ὁ Αἰνείας τοὺς μετ᾿ αὐτοῦ ἀνθρώπους καὶ τὰ πράγματα καὶ ποιήσῃ πλοῖα ἤγουν καράβια καὶ ἀπέλθῃ ὅπου θέλει ἄφοβος καὶ ἀζήμιος παρὰ τῶν Ἑλλήνων. ἀπέστειλεν δὲ καὶ εἰς τὸ μαντεῖον καὶ ἔλαβε χρησμὸν περὶ τούτου. καὶ ἔλεγεν αὐτῷ ὁ χρησμός, ὅτι ἔνθα ἐξέβῃ ἀπὸ τῶν πλοίων καὶ ἴδῃ ὅτι ὁ λαὸς αὐτοῦ ἔφαγον τὰς τραπέζας αὐτῶν, εἰς τὸν τόπον ἐκεῖνον συμφέρει αὐτῷ ἵνα κτίσῃ πόλιν καὶ κατοικήσῃ ἐκεῖ αὐτὸς καὶ ὁ λαὸς αὐτοῦ.

ος΄. ἄφιξις τοῦ Αἰνείου εἰς Λαρεντὸν τῆς Ἰταλίας ἔνθα ἔφαγεν ὁ στρατὸς τὰς τραπέζας αὐτῶν ἤγουν τὰ ὑπεστρωμένα σέληνα.

ἐποίησε γοῦν οὕτως καὶ ἐποίησε στόλον καὶ ἐπέρασεν εἰς τὴν Ἰταλίαν καὶ καταντᾷ εἰς αἰγιαλὸν ὀνόματι Λαρεντὸν οὐ πολλῷ μακρὰν ἀπὸ τῶν ἐκβολῶν τοῦ Τιβέριος ποταμοῦ ἤγουν ἔνθα ἐκβαίνει ὁ Τίβερις ποταμὸς εἰς τὴν θάλασσαν, ὅστις ῥέει σήμερον εἰς τὸ μέσον τῆς Ῥώμης. ἐκεῖ γοῦν εἰς τὸ Λαρεντὸν ἐξελθόντες οἱ

ος΄. ἤως Vat., ἤγουν T. 25 Λωρεντόν Dionys. 27 ἐκβαίνῃ codd.

ἄνθρωποι ἔθηκαν εἰς τὴν γῆν πρασίζουσαν ἀπὸ τῆς χλόης βρώματα ἵνα φάγωσιν. ὑπῆρχον δὲ εἰς τὴν χλόην ἐκείνην καὶ σέληνα. ἀφ' οὗ οὖν ἔφαγον, ἐστοχάσατο εἷς ἐξ ἐκείνων ἐκεῖ, ἔνθα ἐκάθητο καὶ ἔφαγε, σέληνον καὶ ἀνασπάσας ἔφαγε. καὶ ἰδὼν τοῦτον ἄλλος πλησίον αὐτοῦ καθήμενος ἐποίησεν ὁμοίως καὶ μετ' ἐκεῖνον ἄλλος καὶ καθεξῆς ἅπαντες ἕως οὗ ἔφαγον ἅπαντα τὰ σέληνα τὰ ὑποκάτω τῶν βρωμάτων αὐτῶν. ὡς οὖν εἶδεν ὁ *Αἰνείας* τὸ πρᾶγμα τοῦτο, ἐνόησεν τὸν νοῦν καὶ τὴν διάνοιαν τοῦ χρησμοῦ, ὅτι οὗτός ἐστιν ὁ τόπος ἔνθα ἐστὶν ὁρισμὸς τῶν θεῶν ἵνα κατοικήσω. καὶ ἐπειδὴ ἔλεγεν ὁ χρησμός, ὅτι ὅταν μέλλῃ κτίσαι τὴν πόλιν ἵνα ἔχῃ ὁδηγὸν τοῦ τόπου τετράποδον, ἠπόρει πῶς μέλλει ποιῆσαι. ὅμως λαμβάνει χοῖρον ἕνα ἵνα ποιήσῃ θυσίαν τοῖς θεοῖς. ἔτυχε δὲ ὅτι ὑπῆρχε θήλεια καὶ ἔγκυος τὸ ζῶον ἐκεῖνο.

οζ'. περὶ τῆς χοίρου ἥτις ἔτεκε τριάκοντα εἰς τὸν τόπον ὃν ὁ *Αἰνείας* ἔμελλε κτίσαι τὴν πόλιν κατὰ τὸν χρησμόν.

ὡς γοῦν ἐδέσμησαν αὐτὸ ἵνα θυσιάσωσι, κατὰ τύχην τινὰ διαφεύγει ἐκ τῶν χειρῶν τῶν ἀνθρώπων καὶ φεύγει ἄνω ἀπὸ τοῦ αἰγιαλοῦ. ὁ δὲ *Αἰνείας* ἐνόησεν καὶ ἐνταῦθα τοῦ χρησμοῦ τὸ πέρας καὶ ὥρισεν ἵνα μὴ διώξῃ τις τὸ ζῶον, ἵνα μὴ ἀναγκασθῇ ἀπὸ τῆς διώξεως καὶ ἀπέλθῃ ἀλλαχοῦ παρὰ τὴν γνώμην αὐτοῦ. αὐτὸς δὲ ἠκολούθει καὶ ὡς ἀπῆλθε τρία μίλια ἄνω τοῦ αἰγιαλοῦ τὸ ζῶον, ἐταλαιπωρήθη ἀπὸ τοῦ κόπου καὶ ἐκάθησε καὶ ἐκεῖ γεννᾷ τριάκοντα παιδία χοίρους. τότε κατέλαβε κυρίως ὁ *Αἰνείας* ὅτι ἔλαβε τέλος ὁ χρησμός. ἔλεγε γὰρ καὶ τοῦτο ὁ χρησμὸς ὅτι τὸ τετρά-

2 στρώματα V. οζ'. ὁ *Αἰνείας* post πόλιν V. χρισμὸν Vat. 13 ὅτε pro ὅταν V. 15 λαμβάνη codd. 24 ἠκολούθη codd. 25 ἐταλαιπορήθη Vat.

καὶ τὰ παιδία ὅλους ἔμπροσθεν, αὐτὸς δὲ μετὰ τῶν στρατιωτῶν καὶ τῶν νέων ἀνθρώπων ἐξοπίσω διὰ ἀσφάλειαν. οἱ Ἕλληνες γοῦν μὴ εἰδότες τὸ γεγονὸς διὰ ὀλίγου χρόνου ἀναβαίνουσιν εἰς τὸ τεῖχος καὶ εὑρίσκουσι τὴν ἀκρόπολιν ἔρημον ἀνθρώπων, πλὴν ηὕρασιν χρήματα πολλὰ καὶ ἔπεσον εἰς διαρπαγήν. καὶ τοῦτο ἐποίησεν ἄδειαν μεγάλην τοῖς οὖσι μετὰ τοῦ *Αἰνείου* καὶ ἔφυγον εἰς τὰ ὄρη τὰ ὑψηλὰ καὶ ἐκάθηντο μετὰ μεγάλης προσοχῆς καὶ ἐσυνήχθησαν καὶ ἀπὸ τοὺς κύκλῳ τόπους ἐκεῖ πολλοὶ ἄνθρωποι καὶ ἐγένοντο

οε. συμβίβασις Ἑλλήνων καὶ τοῦ Αἰνείου καὶ χρησμὸς ὃν ἔλαβε παρὰ τῶν θεῶν ὁ Αἰνείας περὶ τῆς ἀποδημίας αὐτοῦ.

φοσσάτον ἱκανόν. ὕστερον γοῦν ἔστειλαν ἀποκρισιαρίους εἰς τοὺς Ἕλληνας καὶ ἦλθοσαν εἰς συμφωνίαν, ἵνα λάβῃ ὁ *Αἰνείας* τοὺς μετ᾽ αὐτοῦ ἀνθρώπους καὶ τὰ πράγματα καὶ ποιήσῃ πλοῖα ἤγουν καράβια καὶ ἀπέλθῃ ὅπου θέλει ἄφοβος καὶ ἀζήμιος παρὰ τῶν Ἑλλήνων. ἀπέστειλεν δὲ καὶ εἰς τὸ μαντεῖον καὶ ἔλαβε χρησμὸν περὶ τούτου. καὶ ἔλεγεν αὐτῷ ὁ χρησμός, ὅτι ἔνθα ἐξέβη ἀπὸ τῶν πλοίων καὶ ἴδῃ ὅτι ὁ λαὸς αὐτοῦ ἔφαγον τὰς τραπέζας αὐτῶν, εἰς τὸν τόπον ἐκεῖνον συμφέρει αὐτῷ ἵνα κτίσῃ πόλιν καὶ κατοι-

ος'. ἄφιξις τοῦ Αἰνείου εἰς Λαρεντὸν τῆς Ἰταλίας ἔνθα ἔφαγεν ὁ στρατὸς τὰς τραπέζας αὐτῶν ἤγουν τὰ ὑπεστρωμένα σέληνα.

κήσῃ ἐκεῖ αὐτὸς καὶ ὁ λαὸς αὐτοῦ. ἐποίησε γοῦν οὕτως καὶ ἐποίησε στόλον καὶ ἐπέρασεν εἰς τὴν Ἰταλίαν καὶ καταντᾷ εἰς αἰγιαλὸν ὀνόματι *Λαρεντὸν* οὐ πολλῷ μακρὰν ἀπὸ τῶν ἐκβολῶν τοῦ Τιβέριος ποταμοῦ ἤγουν ἔνθα ἐκβαίνει ὁ Τίβερις ποταμὸς εἰς τὴν θάλασσαν, ὅστις ῥέει σήμερον εἰς τὸ μέσον τῆς Ῥώμης. ἐκεῖ γοῦν εἰς τὸ *Λαρεντὸν* ἐξελθόντες οἱ

ος'. ἤως Vat., ἤγουν T. 25 *Λωρεντόν* Dionys. 27 ἐκβαίνη codd.

ἄνθρωποι ἔθηκαν εἰς τὴν γῆν πρασίζουσαν ἀπὸ τῆς χλόης βρώματα ἵνα φάγωσιν. ὑπῆρχον δὲ εἰς τὴν χλόην ἐκείνην καὶ σέληνα. ἀφ' οὗ οὖν ἔφαγον, ἐστοχάσατο εἷς ἐξ ἐκείνων ἐκεῖ, ἔνθα ἐκάθητο καὶ ἔφαγε, σέληνον καὶ ἀνασπάσας ἔφαγε. καὶ ἰδὼν τοῦτον ἄλλος πλησίον αὐτοῦ καθήμενος ἐποίησεν ὁμοίως καὶ μετ' ἐκεῖνον ἄλλος καὶ καθεξῆς ἅπαντες ἕως οὗ ἔφαγον ἅπαντα τὰ σέληνα τὰ ὑποκάτω τῶν βρωμάτων αὐτῶν. ὡς οὖν εἶδεν ὁ *Αἰνείας* τὸ πρᾶγμα τοῦτο, ἐνόησεν τὸν νοῦν καὶ τὴν διάνοιαν τοῦ χρησμοῦ, ὅτι οὗτός ἐστιν ὁ τόπος ἔνθα ἐστὶν ὁρισμὸς τῶν θεῶν ἵνα κατοικήσω. καὶ ἐπειδὴ ἔλεγεν ὁ χρησμός, ὅτι ὅταν μέλλῃ κτίσαι τὴν πόλιν ἵνα ἔχῃ ὁδηγὸν τοῦ τόπου τετράποδον, ἠπόρει πῶς μέλλει ποιῆσαι. ὅμως λαμβάνει χοῖρον ἕνα ἵνα ποιήσῃ θυσίαν τοῖς θεοῖς. ἔτυχε δὲ ὅτι ὑπῆρχε θήλεια καὶ ἔγκυος τὸ ζῶον ἐκεῖνο.

οζ'. περὶ τῆς χοίρου ἥτις ἔτεκε τριάκοντα εἰς τὸν τόπον ὃν ὁ *Αἰνείας* ἔμελλε κτίσαι τὴν πόλιν κατὰ τὸν χρησμόν.

ὡς γοῦν ἐδέσμησαν αὐτὸ ἵνα θυσιάσωσι, κατὰ τύχην τινὰ διαφεύγει ἐκ τῶν χειρῶν τῶν ἀνθρώπων καὶ φεύγει ἄνω ἀπὸ τοῦ αἰγιαλοῦ. ὁ δὲ *Αἰνείας* ἐνόησεν καὶ ἐνταῦθα τοῦ χρησμοῦ τὸ πέρας καὶ ὥρισεν ἵνα μὴ διώξῃ τις τὸ ζῶον, ἵνα μὴ ἀναγκασθῇ ἀπὸ τῆς διώξεως καὶ ἀπέλθῃ ἀλλαχοῦ παρὰ τὴν γνώμην αὐτοῦ. αὐτὸς δὲ ἠκολούθει καὶ ὡς ἀπῆλθε τρία μίλια ἄνω τοῦ αἰγιαλοῦ τὸ ζῶον, ἐταλαιπωρήθη ἀπὸ τοῦ κόπου καὶ ἐκάθησε καὶ ἐκεῖ γεννᾷ τριάκοντα παιδία χοίρους. τότε κατέλαβε κυρίως ὁ *Αἰνείας* ὅτι ἔλαβε τέλος ὁ χρησμός. ἔλεγε γὰρ καὶ τοῦτο ὁ χρησμὸς ὅτι τὸ τετρά-

2 στρώματα V. οζ'. ὁ *Αἰνείας* post πόλιν V. χρισμὸν Vat. 13 ὅτε pro ὅταν V. 15 λαμβάνῃ codd. 24 ἠκολούθη codd. 25 ἐταλαιπορήθη Vat.

ποδον, ὅπερ μέλλει γενέσθαι αὐτῷ ὁδηγὸς ποῦ μέλλει κτίσαι τὴν πόλιν, μέλλει γεννῆσαι εἰς τὸν τόπον ἐκεῖνον καὶ μετὰ τοσούτους χρόνους ὅσα παιδία γεννήσῃ τὸ τετράποδον, μέλλωσιν οἱ ἀπόγονοι αὐτοῦ κτίσαι ἄλλην πόλιν μεγάλην καὶ πολυάνθρωπον καὶ εὐδαίμονα. ἔλεγε δὲ τοῦτο διὰ τὴν Ἄλβαν. ὁ γοῦν Αἰνείας ἤρξατο
7 κτίζειν τὴν πόλιν εἰς τὸν τόπον ἐκεῖνον ἔνθα ἐγέννησε τὸ ζῶον.

οη'. περὶ Λατίνου τοῦ βασιλέως τῆς χώρας Λατίνων.

ὁ δὲ βασιλεὺς τῆς χώρας ἐκείνης ὀνόματι Λατῖνος μαθὼν τὸ γένος ἦλθε καὶ ἐπολέμει μετὰ τοῦ Αἰνείου καὶ τῶν Ἑλλήνων, ἵνα ἐκβάλλῃ αὐτὸν ἀπὸ τῆς χώρας αὐτοῦ. οἱ δὲ θεοὶ διὰ νυκτὸς λέγουσι τῷ Λατίνῳ, ἵνα δέξεται τὸν ἄνδρα τοῦτον καὶ τὸν λαὸν αὐτοῦ καὶ ποιήσῃ φιλίαν καὶ ἀγάπην μετ' αὐτοῦ, ὅτι τοῦτο ἔσται εἰς μέγα ὄφελος αὐτοῦ.

οθ'. συμβίβασις Λατίνου καὶ Αἰνείου καὶ κτίσις τοῦ Λαουινίου.

ἦλθοσαν γοῦν ὁ Λατῖνος καὶ ὁ Αἰνείας εἰς συμβιβάσεις καὶ ἔδωκεν ὁ Λατῖνος τὴν θυγατέρα αὐτοῦ Λαβίναν εἰς γυναῖκα πρὸς τὸν Αἰνείαν καὶ τὴν κύκλῳ χώραν τοῦ τόπου ἐκείνου καὶ τοῦ αἰγιαλοῦ. ὁ δε Αἰνείας ἔκτισε τὴν πόλιν καὶ ὠνόμασεν τὸ ὄνομα αὐτῆς Λαβίναν τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ, ὅπερ ἡμεῖς ἑλληνικῶς λέγομεν Λαιούνιον. εἰς τοῦτο τὸ Λαιούνιον ἔθηκεν ὁ Αἰνείας τοὺς θεοὺς τοὺς τρωικοὺς καὶ τὰ ἱερὰ αὐτῶν καὶ τὰ παλλάδια καὶ κατέστησεν ἑορτὰς καὶ θυσίας καὶ πανηγύρεις κατὰ τὸν τύπον ὄντινα ἐποίουν αὐτὰ εἰς τὴν Τρωάδα.

π'. κτίσις μετὰ τριάκοντα χρόνους τῆς Ἄλβας Λούγκας.

μετὰ δὲ τριάκοντα χρόνους ηὐξήθησαν οἱ ἄνθρωποι τοῦ Λαιουνίου καὶ ἐστενοχωροῦντο καὶ ἀποστέλλουσι καὶ κτίζουσιν εἰς τόπον καλὸν καὶ

12 δέξαται Vat.

ἀγαθὸν ἑτέραν πόλιν μεγάλην ἥντινα ὠνόμασαν Ἄλβα Λούγκα, ἥτις λέγεται ἑλληνικῇ διαλέκτῳ Λευκὴ Μακρά. ἐνόμασαν δὲ ταύτην Λούγκαν, ἵνα χωρίζηται ἀπὸ ἄλλης πόλεως λατινικῆς Ἄλβας λεγομένης· ἐποίησαν γὰρ καὶ τὸ σχῆμα αὐτῆς μακρόν. εἰς ταύτην τὴν πόλιν τὴν νεόκτιστον τὴν Ἄλβαν μετήγαγον καὶ τοὺς θεοὺς τοὺς τρωικοὺς καὶ τὰ ἱερὰ ὅλα καὶ ἔστησαν αὐτοὺς μετὰ τιμῆς μεγάλης εἰς ναὸν ὅνπερ ἐποίησαν αὐτοῖς. διὰ τῆς νυκτὸς γοῦν εὑρέθησαν εἰς τὸ Λαιούνιον. καὶ πάλιν ἀπῆλθον καὶ ἤγαγον αὐτοὺς μετὰ μεγαλωτέρας τιμῆς εἰς τὴν Ἄλβαν· καὶ πάλιν διὰ τῆς νυκτὸς εὑρέθησαν εἰς τὸ Λαιούνιον εἰς τὸν τόπον ἔνθα ἔστησεν αὐτοὺς ὁ Αἰνείας κατ' ἀρχάς. οἱ δὲ Ἀλβανοὶ ἐνόησαν ὅτι οἱ θεοὶ ἀναπαύονται μᾶλλον εἰς τὸ Λαιούνιον παρὸ εἰς τὴν Ἄλβαν. ἐξελέξαντο γοῦν τοὺς ἐντιμοτάτους τῆς Ἄλβας ἄνδρας ἑξακοσίους καὶ ἔστειλαν αὐτοὺς εἰς τὸ Λαιούνιον, ἵνα ἔχωσι μόνην φροντίδα καὶ μέριμναν τὴν τιμὴν καὶ τὰς θυσίας καὶ τὴν ἐπιμέλειαν τῶν θεῶν τούτων καὶ τὰς ἐξόδους λαμβάνωσιν ἀπὸ τῶν χρημάτων τῆς βασιλείας. τούτους τοὺς θεοὺς λέγει ὁ Διονύσιος, ὅτι ὕστερον ὅτε ἐκτίσθη ἡ Ῥώμη μετὰ τετρακοσίους χρόνους ἀφ' οὗ ἐκτίσθη ἡ Ἄλβα, μετήγαγον αὐτοὺς εἰς τὴν Ῥώμην. οὐ μὴν οἶδε, πῶς καὶ τίνες ἀπήγαγον αὐτούς, ἀλλὰ οὐδὲ τοὺς πρώτους ἐκείνους θεοὺς εἶδέν τις εἰς τὸ φανερὸν εἰ μὴ τὰς εἰκόνας καὶ τὰ εἴδωλα αὐτῶν, ἀλλὰ ἦσαν κεκρυμμένα εἰς τὸν ναὸν τῆς Ἑστίας, ἔνθα ἐφυλάττετο καὶ τὸ ἄσβεστον πῦρ ὑπὸ τῶν παρθένων. λέγει γοῦν ὅτι πολλὰ εἴδωλα τῶν θεῶν τούτων τῶν

2 λόγγα Dionys. 17 ἔστηλαν codd.

τρωικῶν τῶν κεκρυμμένων εἶδον καὶ ἐγὼ καὶ ἄλλοι πολλοὶ εἰς τοὺς παλαιοὺς καὶ ἀρχαίους ναοὺς τῆς Ῥώμης. καὶ εἰς ὅλους εἰσὶν εἰς σχῆμα δύο νεανίσκων ἤγουν τῶν ἰδιωτικῶς λεγομένων παλικαρίων ἐσχηματισμένοι ὥσπερ στρατιῶται. καὶ ἅπερ μὲν εἴδομεν εἰσὶ ταῦτα· τὸ δὲ γράφειν ὑπὲρ αὐτῶν ἱστορίαν ἢ ἀκούειν ἄλλου λέγοντος περὶ αὐτῶν οὐδὲν δυνάμεθα, ἀλλὰ ὀφείλομεν ἀκούειν καὶ γράφειν ὑπὲρ τῶν θεῶν τούτων τῶν τρωικῶν ἅτινα γράφει ὁ Καλλίστρατος ὁ ἱστορικός, ὅστις ἔγραψεν ἰδίαν καὶ κεχωρισμένην ἱστορίαν περὶ τῆς νήσου τῆς Σαμοθρᾴκης μόνης, ἔνθα διηγεῖται καὶ περὶ τῶν θεῶν τούτων. ἀπὸ ταύτης γὰρ τῆς νήσου ἐξήλθοσαν καὶ ἀπῆλθον εἰς τὴν Τρωάδα καὶ εἰς ταύτην τὴν νῆσον ἦλθον ἀπὸ τῆς Ἀρκαδίας. ὁμοίως καὶ ὅσα λέγει ὁ Σάτυρος, ὅστις συνήγαγε καὶ συνέθηκε καὶ ἔγραψεν εἰς βιβλίον ἓν ὅλους τοὺς παλαιοὺς μύθους τῶν Ἑλλήνων οἵτινες ἦσαν διεσκορπισμένοι καὶ ἄτακτοι. λέγει γὰρ καὶ ἐκεῖνος εἰς τοὺς μύθους ἐκείνους περὶ τῶν θεῶν τούτων, καὶ ὅσα εἶπον, ἄλλοι πολλοὶ ἱστορικοὶ καὶ χρονογράφοι περὶ αὐτῶν καὶ μάλιστα ὁ παλαιότατος πάντων τῶν ποιητῶν ὅσους γινώσκω ἐγὼ ὁ Ἀρκτῖνος. λέγουσι γοῦν οἱ ἄλλοι πλὴν τοῦ Ἀρκτίνου, ὅτι ὁ Δάρδανος ὁ υἱὸς τοῦ Διός, ὅντινα ἐγέννησεν ἀπὸ τῆς Ἠλέκτρας τῆς θυγατρὸς τοῦ Ἄτλαντος ὡς προείπομεν, ἔλαβε τὴν Χρύσην τὴν θυγατέρα τοῦ Πάλλαντος. ἡ οὖν θυγάτηρ τοῦ Διὸς ἡ Ἀθηνᾶ ἡ λατινικῶς λεγομένη Μινέρβη ἐδωρήσατο ὥσπερ προῖκά

πα'. ὅτι ὁ ἱστορικὸς Καλλίστρατος ἔγραψεν κεχωρισμένην ἱστορίαν περὶ τῆς Σαμοθρᾴκης νήσου.

πβ'. περὶ τῶν θεῶν καὶ τῶν παλλαδίων ἃ ἔδωκεν ἡ Ἀθηνᾶ

5 ἴδομεν codd. 10 et πα'. καλλίστατος codd. 16 σάτηρος V. 27 πάλαντος codd.

πρὸς Χρύσην τοῦ Δαρδάνου τὴν γυναῖκα.

τινα τῇ νύμφῃ αὐτῆς Χρύσῃ — καὶ γὰρ καὶ αὐτὴ ἡ Ἀθηνᾶ θυγάτηρ ἐστὶ τοῦ Διὸς ἥτις ἐγεννήθη ἀπὸ τῆς κεφαλῆς αὐτοῦ ἔνοπλος ἤγουν μετὰ ἁρμάτων· ἔστι δὲ θεὰ τῆς φρονήσεως, ἐπειδὴ ἐγεννήθη ἀπὸ τῆς κεφαλῆς τοῦ Διός· ὁμοίως καὶ ὁ Δάρδανος υἱὸς τοῦ Διὸς — ἐχάρισεν γοῦν τῇ νύμφῃ αὐτῆς εἴδωλα τῶν μεγίστων θεῶν. τίνων δὲ θεῶν οὐκ ἔστι φανερόν, ἀλλὰ εἴ τινές εἰσιν ἀπὸ τῶν θεῶν εἰς σχῆμα νεανίσκων στρατιωτῶν ἦσαν καθὼς προείρηται. ἐχάρισε δὲ καὶ ἄλλα δύο εἴδωλα ἑαυτῆς ἡ Ἀθηνᾶ πρὸς τὴν εἰρημένην νύμφην αὐτῆς τὴν Χρύσην, ἅτινα καλοῦνται παλλάδια ἀπὸ τοῦ ὀνόματος αὐτῆς· ἡ γὰρ Ἀθηνᾶ λέγεται καὶ Παλλάς. παλλάδια γοῦν εἰσι τὰ εἴδωλα τῆς Παλλάδος, ὅμως καὶ ἐκεῖνα τὰ εἴδωλα τῶν θεῶν καὶ τὰ δύο παλλάδια ἦσαν ἀχειροποίητα. οὐ γὰρ ἐγένοντο παρὰ ἀνθρώπων ἀλλὰ ὑπὸ τῶν θεῶν καὶ αὐτῆς τῆς Ἀθηνᾶς. εἰς τιμὴν γοῦν καὶ δόξαν τῆς νύμφης αὐτῆς ἔδωκε ταῦτα πρὸς αὐτὴν ἡ Ἀθηνᾶ καὶ ἐδίδαξεν αὐτήν, πῶς ὀφείλει τιμᾶν καὶ ἑορτάζειν αὐτὰ καὶ τὰς θυσίας καὶ τὰς πανηγύρεις αὐτῶν. ὡς θεόπεμπτα γὰρ καὶ ἀχειροποίητα ἐδίδαξεν αὐτὴν καὶ ἄλλας τιμὰς καὶ θυσίας ἀποῤῥήτους καὶ μυστικὰς καὶ ἀποκρύφους παρὸ ἐκείνας ἅστινας ἐποίουν εἰς τὰ ἄλλα τὰ χειροποίητα εἴδωλα.

πγ΄. περὶ τῶν ναῶν τῆς Ἀθηνᾶς καὶ τοῦ Ἄρεως, ποῦ ἐκτίζοντο παρὰ τῶν Ἑλλήνων.

αὕτη γοῦν ἡ θεὰ ἡ Ἀθηνᾶ ἐτιμᾶτο ὑπὸ τῶν Ἑλλήνων εἰς ὑπερβολήν. καὶ τοὺς ναοὺς αὐτῆς καὶ τὰς θυσίας καὶ τὰς πανηγύρεις ἐποίουν ἐντὸς τῆς πόλεως, ὥσπερ ἐποίουν τὸ ἐναντίον εἰς τὸν θεὸν τὸν Ἄρην, ὅστις λέγεται λατι-

4 ἁρμάτων codd. 9 καθῶς Vat.

νικῶς Μάρς. τούτου γὰρ τοῦ Ἄρεως τοὺς βωμοὺς ἀεί ποτε ἐποίουν ἔξω τῆς πόλεως. ὁ γὰρ θεὸς οὗτός ἐστιν θεὸς τοῦ πολέμου καὶ κακοποιὸς ἀστὴρ ἐν τῷ οὐρανῷ. ἐσήμαινον γοῦν καὶ ἐδήλουν διὰ τούτου, ὅτι τὴν μὲν φρόνησιν ἥτις νοεῖται ἡ Ἀθηνᾶ, ὀφείλουσιν ἔχειν οἱ ἄνθρωποι ἐντὸς τῆς πόλεως — ἡ φρόνησις γάρ ἐστιν ἡ κοσμοῦσα καὶ ὡραΐζουσα καὶ ποιοῦσα χρησιμωτάτην καὶ τὴν πόλιν καὶ τὴν πολιτείαν — τὸν δὲ πόλεμον καὶ τὰς μάχας, αἵτινες δηλοῦνται διὰ τοῦ Ἄρεως, ἔχειν ἔξω τῆς πόλεως καὶ οὐκ ἔνδον. ὁ γὰρ πόλεμος συμφέρει πρὸς τοὺς ἔξω τῆς πόλεως καὶ τοὺς ἐχθρούς, ἐντὸς δὲ τῆς πόλεως ὁ πόλεμός ἐστι φθορὰ καὶ κατάλυσις καὶ ἀνατροπὴ ἀπὸ θεμελίων αὐτῆς. καὶ τί γὰρ ἄλλο ποιεῖ ὁ ἐντὸς τῆς πόλεως καὶ ἐμφύλιος πόλεμος εἰ μὴ τοῦτο; ἐπειδὴ δὲ ἔδωκεν ἡ Ἀθηνᾶ πρὸς τὴν Χρύσην τοὺς θεοὺς ἐκείνους καὶ τὰ παλλάδια καὶ ἐδίδαξεν αὐτὴν τὰς θυσίας καὶ τὰς τιμὰς αὐτῶν, παρήγγειλεν αὐτῇ ἵνα ἔχῃ ταῦτα μυστικὰ καὶ ἀπόκρυφα καὶ μὴ εἴπῃ ἢ ἐξαγγείλῃ ταῦτα εἰς πολλούς. ἐποίησε δὲ τοῦτο ἵνα ὑπάρχωσι τίμια καὶ ἀγαπητὰ καὶ οἱ θεοὶ ἐκεῖνοι καὶ αἱ θυσίαι αὐτῶν. τὸ γὰρ κεκρυμμένον καὶ ἄδηλον καὶ ἀπόρρητον ἀγαπῶσι καὶ ζητῶσι καὶ ἐπιθυμοῦσι καὶ θαυμάζωσι καὶ τιμῶσι πάντες οἱ ἄνθρωποι, τὸ δὲ φανερὸν καὶ εὔκολον καὶ ἕτοιμον οὔτε ἐπιθυμοῦσιν οὔτε θαυμάζουσιν οὔτε τιμῶσιν, ἀλλὰ μᾶλλον καταφρονοῦσιν αὐτοῦ. εἶχον γοῦν ταῦτα ἥ τε Χρύση καὶ ὁ Δάρδανος εἰς τὴν Ἀρκαδίαν καὶ ἐποίουν καθὼς παρήγγειλεν αὐτοῖς ἡ Ἀθηνᾶ. ἐπειδὴ δὲ ἐγένετο ὁ κατακλυσμὸς εἰς τὴν Ἀρκαδίαν

4 διατούτου codd. 5 νοῆται codd. 16 χρησῆν Vat. 25 ἕτοιμων Vat.

ὡς προείπομεν καὶ ἐξῆλθον ἀπ' ἐκεῖσε ὁ Δάρδανος καὶ οἱ μετ' αὐτοῦ καὶ ἦλθον εἰς τὴν νῆσον τῆς Θρᾴκης ἤγουν εἰς τὴν Σαμοθρᾴκην καὶ κατῴκησεν ἐκεῖ χρόνον ὀλίγον, ἐκεῖ ἔκτισε ναὸν καὶ ἔθηκε τοὺς θεοὺς τούτους καὶ τὰ παλλάδια καὶ ἐθυσίαζε καὶ ἐτίμα αὐτοὺς μυστικῶς κατὰ τὴν παραγγελίαν τῆς Ἀθηνᾶς.

πδ'. ὅτι ὁ Δάρδανος ἔκτισε ναὸν εἰς τὴν Σαμοθρᾴκην καὶ ἔθηκε τοὺς θεοὺς καὶ τὰ παλλάδια.

ὕστερον γοῦν ὡς ἐξῆλθεν ἀπὸ τῆς νήσου διὰ στέρησιν τῆς τροφῆς καὶ τῆς ἄλλης ἀναπαύσεως ὡς προείπομεν, κατέλιπεν ἐκεῖ τὸν Σάμωνα μετὰ καὶ ἄλλου ὀλίγου λαοῦ, ἀφ' οὗ τοῦ Σάμωνος ὠνομάσθη ἡ νῆσος Σαμοθρᾴκη ὡς προείρηται. ἐμέρισε δὲ καὶ τὰ ἱερὰ εἰς δύο· καὶ τοὺς μὲν θεοὺς κατέλιπεν εἰς τὴν νῆσον εἰς παραμυθίαν τοῦ Σάμωνος καὶ τῶν μετ' αὐτοῦ, αὐτὸς δὲ ἔλαβε τὰ παλλάδια, πλὴν ἐποίησεν εἰκόνας ξυλίνας ἢ λιθίνας τῶν θεῶν ἐκείνων οὕστινας ἀφῆκεν εἰς τὸ νησίον καὶ ἔλαβε καὶ αὐτὰς μετ' αὐτοῦ. τὰς δὲ θυσίας τὰς μυστικὰς καὶ ἄλλο εἴτι ἐγίνωσκε ἀπόκρυφον εἰς τιμὴν τῶν θεῶν ἐδίδαξε τὸν Σάμωνα καὶ τοὺς μετ' αὐτοῦ, ἵνα τιμῶσι διὰ τούτων τοὺς θεοὺς οὕστινας ἀφῆκεν αὐτοῖς. ἀπὸ γοῦν τοῦ Σάμωνος καὶ τῶν πρώτων ἐκείνων ἀνθρώπων ἔμαθον ταύτας καὶ οἱ ὕστερον ἄνθρωποι τῆς Σαμοθρᾴκης καὶ ἐποίουν αὐτὰς οὕτως καθὼς ἐδιδάχθησαν ὑπὸ τοῦ Δαρδάνου οἱ Σαμοθρᾳκῖται ἕως τῆς ἡμέρας τοῦ Διονυσίου τούτου τοῦ συγγραφέως ἤγουν ἕως τοῦ καιροῦ τοῦ Καίσαρος.

πε'. ὅπως ἐξῆλθεν ἀπὸ τῆς Σαμοθρᾴκης ὁ Δάρδανος καὶ κατέλιπεν ἐκεῖ τὸν Σάμωνα μετ' ὀλίγων ἀνθρώπων.

καὶ εἶχον τοῦτο καύχημα οἱ Σαμοθρᾳκῖται καὶ πρὸς ἄλλους τινὰς τῶν Ἑλλήνων οὐδὲν

πϛ'. ὅπως οἱ Σαμοθρᾳκῖται εἶχον καύχημα

4 et πδ'. ἔκτισεν V.

καὶ τιμὴν εἰς τοὺς ἄλλους Ἕλληνας τοὺς θεοὺς τούτους καὶ τὰς ἑορτὰς αὐτῶν καὶ τὰ μυστήρια, ἅπερ οἱ λοιποὶ Ἕλληνες οὐκ ἐγίνωσκον.

ἔλεγον οὔτε τὰ ὀνόματα τῶν θεῶν οὔτε τὰς τιμὰς καὶ τὰς θυσίας αὐτῶν, ἀλλ' εἶχον ταῦτα ἐξαίρετα αὐτοὶ παρὸ τοὺς ἄλλους Ἕλληνας ὡς θεόπεμπτα καὶ θεοδίδακτα καὶ εἶχον τὴν τιμὴν ταύτην ἕως οὗ ἔπαυσεν ὁ ἑλληνισμὸς διὰ τῆς χάριτος τοῦ ἀληθινοῦ καὶ πρώτου καὶ μόνου θεοῦ τῆς ἁγίας τριάδος. καὶ περὶ μὲν τῶν θεῶν οὕστινας κατέλιπεν ὁ Δάρδανος εἰς τὴν Σαμοθρᾴκην οὕτως. ὁ δὲ Δάρδανος λαβὼν τὰς εἰκόνας τῶν θεῶν οὕστινας κατέλιπεν εἰς τὴν νῆσον καὶ τὰ παλλάδια τὰ πρωτότυπα διεπέρασεν εἰς τὴν ἀνατολὴν καὶ ὑπεδέχθη παρὰ τοῦ βασιλέως τῆς χώρας Τεύκρου καὶ ἔκτισε καὶ πόλιν ἐν αὐτῇ ἥντινα ἐκάλεσε καὶ Δάρδανον ὡς προείπομεν. μέλλων δὲ κτίζειν τὴν πόλιν ἀπέστειλεν εἰς τὸ μαντεῖον ἵνα λάβῃ χρησμὸν περὶ τῆς οἰκήσεως αὐτοῦ εἰς τὰ μέρη ἐκεῖνα καὶ περὶ τῆς πόλεως ἣν ἔμελλε κτίζειν. ὁ δὲ χρησμὸς ἐκέλευσεν αὐτῷ οὕτως περὶ τῆς τιμῆς τῶν εἰκόνων

πζ'. χρησμὸς ὃν ἔλαβεν ὁ Δάρδανος περὶ τῆς πόλεως ἣν ἔκτισε καὶ περὶ τῆς τιμῆς τῶν θεῶν καὶ τῶν παλλαδίων.

τῶν θεῶν καὶ τῶν παλλαδίων· Δάρδανε, εἰς τὴν πόλιν ἥντινα κτίζεις νομοθέτησον πίστιν καὶ σέβας εἰς τοὺς θεοὺς οὓς ἔχεις μετὰ σοῦ καὶ τιμὰς καὶ ἑορτὰς καὶ πανηγύρεις κατὰ τὴν διδαχὴν ἣν ἔχεις παρὰ τῆς Ἀθηνᾶς, ἵνα γένωνται ἄπαυστοι καὶ ἀθάνατοι εἰς τοὺς ἐρχομένους καιρούς. γίνωσκε γάρ· ἐὰν τὰ δῶρα ταῦτα τὰ θαυμαστὰ καὶ τίμια, ἅτινα ἐχάρισεν ἡ Ἀθηνᾶ πρὸς τὴν γυναῖκά σου τὴν Χρύσην διὰ τὴν ἀγάπην τὴν σήν, ὑπάρχωσι ἔντιμα καὶ σεβάσμια καὶ τιμῶνται καὶ ἑορτάζωνται καθὼς ὀφείλει, ἡ πόλις

13 *αὐτῇ* bis, et in textu et margini adscriptum legitur in Vat. 15 *μαντίο* T. 17 *ἣ* pro *ἣν* V.

ἐκείνη ἐν ᾗ ὑπάρχωσι ταῦτα οὐ μὴ κρατηθῇ ποτε ὑπὸ πολέμου οὐδὲ μὴ μεταπέσῃ εἰς ἐχθρῶν χεῖρας, ἀλλὰ εἰς τὸν ἐρχόμενον πάντα χρόνον καὶ εἰς τὰς ἐρχομένας πάσας ἡμέρας ἔσται ἀπόρθητος καὶ ἀνάλωτος καὶ ἀχείρωτος παρὰ πάντων ἀνθρώπων. ὁ οὖν Δάρδανος ἐχάρη ἀκούσας ταῦτα καὶ ἐποίησεν καθὼς ἐκέλευσεν αὐτῷ ὁ χρησμός. μετὰ δὲ τὸν θάνατον τοῦ Δαρδάνου ὁ Ἰδαῖος ὁ υἱὸς αὐτοῦ ἔλαβε τὴν ἀρχὴν αὐτοῦ καὶ τὴν νεόκτιστον πόλιν τὴν Δάρδανον. ὁ δὲ Ἰδαῖος ἐγέννησεν υἱὸν ὀνόματι Τρῶα, ὅστις ὁ Τρὼς ἀποθανόντος τοῦ Ἰδαίου ἔλαβε τὴν ἀρχὴν αὐτοῦ καὶ τὴν ἀρχὴν τοῦ Τεύκρου τοῦ βασιλέως τῆς χώρας· καὶ γὰρ προαπέθανε καὶ οὗτος. καὶ ἐγένετο ὁ Τρὼς μεγαλώτερος βασιλεὺς παρὸ τοὺς προγόνους αὐτοῦ καὶ ὠνόμασεν ἀπὸ τοῦ ὀνόματος αὐτοῦ τὴν χώραν ὅλην Τρωάδα, ἥτις ἐκαλεῖτο πρῶτον Τευκρὶς ὡς εἴρηται ἀπὸ τοῦ Τεύκρου. ὁ Τρὼς πάλιν ἐγέννησεν υἱὸν Ἶλον, ὃς μετὰ τὸν θάνατον τοῦ πατρὸς αὐτοῦ τοῦ Τρωὸς ἔκτισε τὴν μεγάλην πόλιν καὶ πολυάνθρωπον ἥντινα ἐπολέμουν δέκα χρόνους οἱ Ἕλληνες ὡς προείρηται, ἥτις ἐλέγετο καὶ Τροία καὶ Ἴλιον. οὗτος ὁ Ἶλος ἐποίησε τὴν ἀκρόπολιν τῆς Ἰλίου ἥντινα εἴπομεν κουλάν, καὶ εἰς αὐτὴν ἐποίησεν ναὸν καὶ εἰς τὸν ναὸν τοῦτον ἄβατον καὶ ἄδηλον καὶ κρυπτὸν τόπον μετήγαγεν γοῦν τοὺς προγονικοὺς αὐτοῦ θεοὺς καὶ τὰ παλλάδια ἀπὸ τῆς πόλεως τῆς Δαρδάνου καὶ ἔθηκεν αὐτοὺς εἰς τὸ ἐνδότερον καὶ ἄβατον τοῦ ναοῦ τούτου. ἐνομοθέτησε δὲ καὶ αὐτὰς τὰς τιμὰς

πη΄. ὅτι ὁ Ἶλος ὁ υἱὸς τοῦ Τρωὸς ἔκτισε τὸ Ἴλιον καὶ ἔκτισεν ἐν αὐτῇ ἀκρόπολιν καὶ ναὸν καὶ μετεκόμισεν ἀπὸ τῆς Δαρδάνου τοὺς θεοὺς καὶ τὰ παλλάδια καὶ κατέθηκεν εἰς τὸ Ἴλιον.

17. 21. πη΄. ἴλλον. ἴλλος codd. 23 εἴπωμεν codd

τὰς μυστικὰς καὶ ἀποκρύφους καὶ τὰς θυσίας αὐτῶν κατὰ τὴν τάξιν καὶ παράδοσιν τῶν προγόνων αὐτοῦ εἰς τὸ Ἴλιον. καὶ ἐτίμων καὶ ἐφύλαττον αὐτοὺς οἱ Τρῶες μετὰ μεγάλης φυλακῆς καὶ προσοχῆς ὡς πράγματα θεόπεμπτα καὶ ἀχειροποίητα καὶ μάλιστα τὰ παλλάδια καὶ ὡς σύστασιν καὶ διαμονὴν καὶ σωτηρίαν τῆς πόλεως αὐτῶν κατὰ τὸν χρησμὸν ὅντινα ἔλαβεν ὁ Δάρδανος περὶ αὐτῶν ὥσπερ προείρηται. ἦσαν γοῦν ταῦτα ἕως τοῦ καιροῦ τοῦ Πριάμου τοῦ βασιλέως τῆς Τροίας, καθ' ὃν καιρὸν ἦλθον οἱ Ἕλληνες διὰ τὴν προῤῥηθεῖσαν αἰτίαν τῆς Ἑλένης τοῦ Μενελάου καὶ ἐπολέμουν μετὰ τῶν Τρώων. τῷ δὲ καιρῷ ἐκείνῳ ὡς ἠγανάκτουν οἱ Ἕλληνες καὶ ἐδυσχέραινον, ὅτι τοιοῦτοι ἄνδρες ἥρωες καὶ τοσαύτη δύναμις ὡσὰν τὴν ἑλληνικὴν κάθηται χρόνους δέκα καὶ οὐδὲν δύνανται πορθῆσαι τὴν πόλιν ταύτην τῆς Τρωάδος καὶ συλλογιζόμενοι τὴν αἰτίαν μετ' ἀλλήλων — ἢ αὐτοὶ ἐνεθυμήθησαν ἤ τις ἀπὸ τῶν Τρώων — εἶχον γὰρ φίλους ἐντὸς τῆς Τροίας οἱ Ἕλληνες — εἶπε πρὸς αὐτοὺς τὸν χρησμὸν τοῦ Δαρδάνου καὶ τὴν ὑπόθεσιν τῶν θεῶν καὶ τῶν παλλαδίων καὶ ὅτι ἕως ἂν ὑπάρχωσι ταῦτα εἰς τὴν Τρωάδα, ἡ πόλις μέλλει εἶναι ἀκράτητος καὶ ἀπόρθητος κατὰ τὸν χρησμόν — καὶ συμβουλεύονται μετ' ἀλλήλων καὶ ἀποστέλλουσι διὰ τῆς νυκτὸς τὸν Διομήδην καὶ τὸν Ὀδυσσέα. οὗτοι γὰρ ἐτόλμησαν ποιῆσαι τὸ ἔργον τοῦτο, ἵνα κλέψωσι τὰ παλλάδια ἀπὸ τῆς ἀκροπόλεως τῆς Τροίας. οἵτινες διά τινος μηχανῆς καὶ τόπου ἀποκρύφου ἀναβαίνουσι κατὰ τὴν

πθ'. περὶ τῆς κλοπῆς τοῦ παλλαδίου ἀπὸ τῆς ἀκροπόλεως τοῦ Ἰλίου ὑπὸ Διομήδους καὶ Ὀδυσσέως.

22 ὑπάρχωσιν V. 28 τρώας codd.

νύκτα εἰς τὴν ἀκρόπολιν καὶ εἰσέρχονται εἰς τῆς ἀκροπόλεως τὸν ἐνδότερον τόπον καὶ τοῦ ναοῦ. καὶ ἢ ἀπὸ τοῦ φόβου καὶ τῆς συντομίας ἢ καὶ οὐχ εὗρον τὸ ἕτερον παλλάδιον, ὅμως λαμβάνουσι τὸ ἓν καὶ ἀπέρχονται εἰς τὸν στρατὸν τῶν Ἑλλήνων πάλιν διὰ τῆς νυκτός. ὕστερον δὲ διεφήμισαν τοῦτο εἰς τοὺς Τρῶας καὶ ἐτάραξαν αὐτούς. οἱ οὖν ἄλλοι ἱστορικοὶ καὶ ὁ Καλλίστρατος ὅστις ἔγραψε τὴν ἱστορίαν τῆς Σαμοθράκης καὶ ὁ Σάτυρος ὅστις συνήγαγεν τοὺς μύθους τῶν Ἑλλήνων καθὼς εἴπομεν γράφουσιν οὕτως περὶ τῶν θεῶν τούτων καὶ τῶν παλλαδίων.

ϛ΄. τί γράφει ὁ ποιητὴς Ἀρκτῖνος περὶ τοῦ κλαπέντος παλλαδίου ὑπὸ Διομήδους καὶ Ὀδυσσέως, ὅτι ὑπῆρχε σκευαστὸν καὶ οὐ τὸ πρωτότυπον.

ὁ δὲ παλαιότατος ποιητὴς Ἀρκτῖνος ὃν εἴπομεν γράφει διαφόρως πρὸς τοὺς ἄλλους ταύτην τὴν περὶ τούτων ἱστορίαν. λέγει γὰρ ὅτι ὁ Ζεὺς ἔδωκεν πρὸς τὸν Δάρδανον παλλάδιον ἓν ἀχειροποίητον ἤγουν εἴδωλον τῆς Ἀθηνᾶς εἰς φυλακὴν καὶ σύστασιν τῆς πόλεως τῆς Δαρδάνου ἣν ἔκτισεν, ὅπερ παλλάδιον ὕστερον μετετέθη εἰς τὸ Ἴλιον εἰς τὴν πόλιν τῶν Τρώων καὶ ὑπῆρχε κεκρυμμένον εἰς τόπον ἄδηλον καὶ ἄβατον ὅντινα οὔτε ἐγίνωσκέ τις ἀπὸ τῶν Τρώων οὔτε εἰσήρχετο ἐκεῖ, ἀλλ' ἐπειδὴ τὸ παλλάδιον τοῦτο ἐφαίνετο ὅτι φυλάττει τὴν πόλιν ἀπὸ τοῦ πολέμου τῶν Ἑλλήνων καὶ εἶχε φήμην μεγάλην εἰς τὸν κόσμον ὡς θεόπεμπτον καὶ ἀχειροποίητον, φοβούμενοι οἱ Τρῶες τὴν κλοπὴν καὶ τὴν ἐπιβουλήν, κατεσκεύασαν κεκρυμμένως μετὰ τέχνης μεγάλης ἕτερον παλλάδιον ὅμοιον καὶ ἀπαράλλακτον κατὰ πάντα τῷ ἀρχετύπῳ. καὶ οὐκ ἐγίνωσκον τοῦτο εἰ μὴ μόνοι ἐκεῖνοι οἵτινες κατεσκεύασαν αὐτὸ οἱ

5 τὸν post στρατόν add. V. 6 διεφήμησαν Vat.

τεχνῖται. ἐκεῖνοι γὰρ μόνον ἐγίνωσκον ὅτι τοῦτό ἐστι τὸ πρωτότυπον καὶ τοῦτό ἐστι τὸ ὑστερογενές. εἰς δὲ τὴν ὄψιν καὶ τὴν μορφὴν καὶ τὸ σχῆμα οὐκ εἶχον οὐδεμίαν διαφοράν. τὸ οὖν πρωτότυπον ὑπῆρχε κεκρυμμένον εἰς ἄδηλον τόπον καὶ ἄβατον, ὅντινα οὐδεὶς ἐγίνωσκεν τῶν Τρώων οὐδὲ οἱ ἱερεῖς αὐτοί, τὸ δὲ ὑστερογενὲς καὶ σκευαστὸν ἔθηκαν ἐν τῷ ναῷ εἰς τὸ φανερὸν καὶ ἐτίμων μετὰ μεγάλης προσοχῆς καὶ εὐλαβείας. καὶ τοῦτο ὑπῆρχε καθὼς λέγει ὁ Ἀρκτῖνος ὅπερ ἔκλεψαν ὁ Ὀδυσσεὺς καὶ ὁ Διομήδης ἀπὸ τῆς ἀκροπόλεως. ὅμως εἴτε ὡς λέγουσιν οἱ ἄλλοι εἴτε ὡς λέγει ὁ Ἀρκτῖνος φανερόν ἐστιν, ὅτι τὸ ἓν παλλάδιον κατελείφθη εἰς τὴν ἀκρόπολιν τῶν Τρώων, ὅπερ οὐκ ἠδυνήθη φυλάξαι τὴν πόλιν, ἀλλ' ἐψεύσθη ὁ χρησμὸς τοῦ Δαρδάνου. ἀπὸ γὰρ ψευδῶν θεῶν πῶς ἐστι δυνατὸν ἐξελθεῖν τὴν ἀλήθειαν; τοῦτο οὖν τὸ παλλάδιον, φησὶν ὁ Διονύσιος, καὶ τὰς εἰκόνας τῶν μεγάλων θεῶν ἐκόμισεν ὁ Αἰνείας ἀπὸ τῆς Τρωάδος εἰς τὴν

ϙα'. ὅτι οἱ Σαμοθρᾶκες τιμῶσι τοὺς θεοὺς τούτους περισσότερον τῶν ἄλλων Ἑλλήνων.

Ἰταλίαν, οὕστινας τοὺς θεοὺς τιμῶσι καὶ ἑορτάζουσι πάντων τῶν Ἑλλήνων περισσότερον οἱ Σαμοθρᾶκες ἤτοι οἱ τῆς Σαμοθράκης ἄνθρωποι. καὶ τοῦτο λέγω, φησὶν ὁ Διονύσιος, πιστεύων τοῖς ἱστορικοῖς ἀνδράσιν οὓς προείπομεν. ἀλλὰ αἱ μὲν πρωτότυποι εἰκόνες καὶ τὰ εἴδωλα τῶν θεῶν, ἅπερ ἐκόμισεν ὁ Αἰνείας εἰς τὴν Ἰταλίαν, οὐ γινώσκω ποῦ εὑρίσκωνται. εἴδωλα δὲ καὶ εἰκόνας ἐκείνων εἰς σχῆμα στρατιωτικὸν καθὼς προείπομεν εἴδομεν εἰς πολλοὺς ναοὺς παλαιοὺς τῆς Ῥώμης. τὸ δὲ παλλάδιον ἐκεῖνο τὸ πρωτότυπον

1 μόνοι V. ϙα' et 21 σαμοθράκες codd. 25 οἱ pro ὁ V. 27 οἰκόνας Vat.

λέγουσί τινες ὅτι κεῖται εἰς τὸν ναὸν τῆς Ἑστίας εἰς τὴν Ῥώμην καὶ φυλάττεται καὶ τιμᾶται ὑπὸ τῶν ἱερωμένων παρθένων γυναικῶν, ἔνθα ἤτοι εἰς τὸν ναὸν τῆς Ἑστίας φυλάττεται ἄσβεστον καὶ ἀθάνατον πῦρ, ὑπὲρ ὧν λέγει ὅτι μέλλει εἰπεῖν ἐν ὑστέρῳ λόγῳ, ἤγουν περὶ τοῦ ναοῦ τῆς Ἑστίας καὶ τοῦ ἀθανάτου πυρὸς καὶ τῶν φυλασσόντων τὸ πῦρ ἱερῶν παρθένων. ὅπερ γοῦν παρέλειψεν ἐκεῖνος κατὰ τὸ παρόν, μέλλω λέγειν ἐγὼ πάλιν ἀπὸ τῶν λόγων αὐτοῦ.

ϙβʹ. περὶ τοῦ ναοῦ τῆς Ἑστίας ὅστις ἦν εἰς τὴν Ῥώμην, ὅτι οὐκ ἔκτισεν αὐτὸν ὁ Ρωμύλος διὰ τὴν αἰτίαν τῆς μητρὸς αὐτοῦ, ἀλλ' ἔκτισεν αὐτὸν ὁ Νομᾶς Πομπίλιος. καὶ ἱστορία περὶ τῆς μητρὸς αὐτοῦ καὶ τοῦ πάππου καὶ τοῦ θείου αὐτοῦ.

ἐπειδὴ καθὼς προείπομεν ὅτι οἱ παλαιοὶ εἶχον συνήθειαν, ὅταν ἔκτιζον πόλιν, τὸν πρῶτον ναὸν ὅνπερ ἐποίουν, ἐποίουν τῆς θεᾶς τῆς Ἑστίας διὰ φυλακὴν τῆς πόλεως καὶ ἦν ἀνάγκη ἅπτεσθαι ἐν αὐτῷ ἀθάνατον πῦρ ἤγουν ἄσβεστον ὑπὸ παρθένων γυναικῶν τεσσάρων, ὁ Ῥωμύλος κτίσας τὴν Ῥώμην οὐκ ἐποίησε ναὸν τῆς Ἑστίας. ἡ δὲ αἰτία ἦν αὕτη. εἰς τὴν Ἄλβαν εἰς τὸν ναὸν τῆς Ἑστίας, ἔνθα ἐφύλαττον αἱ παρθένοι τὸ πῦρ, ὑπῆρχεν ἱέρεια μία τῶν τεσσάρων παρθένων ἡ μήτηρ τοῦ Ῥωμύλου ἡ Ἰλία· οὕτω γὰρ ὠνομάζετο. ἦν δὲ τοῦ τότε βασιλέως τῆς Ἄλβας Ἀμολίου ἀνεψιά. εἶχε γὰρ ἀδελφὸν Νεμέτορα ὁ Ἀμόλιος καὶ ἦν ἐκεῖνος πρῶτος ὁ Νεμέτωρ καὶ ἦν βασιλεὺς κατὰ νόμον. ὁ δὲ Ἀμόλιος ἐβιάσατο καὶ ἔλαβε ἐκεῖνος τὴν ἀρχὴν τοῦ πατρὸς αὐτοῦ. εἶχε γοῦν θυγατέρα τὴν Ἰλίαν οὗτος ὁ Νεμέτωρ. ὁ γοῦν Ἀμόλιος φοβηθεὶς μήποτε δώσῃ τὴν μονογενῆ αὐτοῦ τὴν θυγατέρα ὁ Νεμέτωρ πρὸς ἄνδρα καὶ ὁ ἀνὴρ αὐτῆς βοηθήσῃ τῷ Νεμέτορι

11 ἦχον Vat. ὅτε V. ϙβʹ. πομπήλιος codd. 22 τοῦτό τε codd. 26 ἰουλίαν V.

καὶ ἐκβάλλει αὐτὸν ἀπὸ τῆς ἀρχῆς ἢ ποιήσῃ παῖδας καὶ ποιήσωσιν αὐτὸ τοῦτο ἐκεῖνοι ὅταν ἀνδρωθῶσιν, ἔταξε τὴν ἀνεψιὰν αὐτοῦ τὴν Ἰλίαν εἰς τὸν ναὸν τῆς Ἑστίας, ἵνα δουλεύῃ ὡς ἱέρεια καὶ παρθενεύῃ τριάκοντα χρόνους καθὼς εἶχον συνήθειαν. ἡ Ἰλία γοῦν αὕτη μυθεύονται ὅτι ἀπῆλθέ ποτε εἰς μίαν φάραγγα ἤγουν τὴν κοινῶς λεγομένην λαγκάδα ἥτις ὑπῆρχε πλησίον τοῦ ναοῦ, ἵνα λάβῃ ὕδωρ ἀπὸ τῆς πηγῆς διὰ χρείαν τοῦ ναοῦ. ἐκεῖ γίνεται ἐκ τοῦ αἰφνιδίου σκότος μέγα καὶ ταραχὴ καὶ βρονταὶ καὶ ἀστραπαὶ καὶ βλέπει ἄνθρωπον ἕνα ὡπλισμένον ἤγουν ἁρματωμένον ἀπὸ κεφαλῆς ἕως ποδῶν καὶ βιάζεται αὐτὴν καὶ φθείρει τὴν παρθενίαν αὐτῆς. τοῦτον λέγουσιν ὅτι ὑπῆρχεν ὁ θεὸς ὁ Ἄρης· καὶ παραυτίκα συλλαμβάνει. εἶχεν γὰρ αὐτὸ κεκρυμμένον μέχρι καιροῦ. εἶτα ἐφανερώθη καὶ εἰς τὸν βασιλέα τὸ πρᾶγμα τὸν Ἀμόλιον. ἠθέλησεν ἐκεῖνος ἵνα σφάξῃ αὐτὴν κατὰ τὸν νόμον ὡς πορνεύσασαν μετὰ ἀνθρώπου τινός· οὐ γὰρ ἐπίστευσεν ἐκεῖνος τὴν φαντασίαν ἥντινα ἔλεγεν ἐκείνη. ὅμως ἡ θυγάτηρ αὐτοῦ τοῦ Ἀμολίου [ἡ Ἰουλία] ἡ καὶ ἐξαδελφὴ τῆς Ἰλίας ἐξήτησεν αὐτὴν ἀπὸ τοῦ θανάτου καὶ ἐλευθέρωσεν αὐτήν. ἐγέννησεν γοῦν ἡ Ἰλία δύο ἄῤῥενα παιδία, τὸν Ῥῶμον καὶ τὸν Ῥωμύλον, ἅτινα ὁ Ἀμόλιος ὥρισεν καὶ ἐρίψασεν αὐτὰ πλησίον τοῦ Τιβέριος ποταμοῦ ἵνα ἀποθάνωσιν.

ϛγʹ. ὅπως περιέθαλπε τὸν Ῥῶμον καὶ τὸν Ῥωμύλον ἡ λύκαινα βρέφη ὄντα.

εὑρέθη γοῦν κατὰ τύχην ζῶον λύκαινα καὶ ἐπλησίασεν εἰς τὰ παιδία καὶ ἔβαλεν εἰς τὸ στόμα αὐτῶν τοὺς μασθοὺς αὐτῆς ἤγουν τὰ βυζία· καὶ γὰρ καὶ ἡ λύκαινα τότε ἐγέννησεν ἔγγιστα. τοῦτο τὸ πρᾶγμα

2 ἀνδρωθῶσι V. 20 ἡ Ἰουλία deest V. nec legitur nomen apud Dionysium. 24 ἐρίψασιν codd.

εἶδέν τις ποιμὴν ἀπὸ τοῦ ὄρους καὶ κατῆλθε καὶ ἔλαβε τὰ παιδία. καὶ ἔτυχεν ὅτι ἡ γυνὴ αὐτοῦ τότε ἔκτρωσεν ἤγουν ἀπεβάλθη ὅπερ ὑπῆρχεν ἐγκυμονούμενον εἰς τὴν κοιλίαν αὐτῆς παιδίον καὶ ἐλυπεῖτο εἰς ὑπερβολήν. ὡς γοῦν εἶδεν τὰ παιδία ταῦτα, ἐχάρη καὶ ἀνέθρεψεν αὐτά. καὶ ἐγένοντο ἄνδρες καὶ εἶχον τὸν ποιμένα πατέρα καὶ τὴν γυναῖκα αὐτοῦ μητέρα καὶ πλέον οὐδὲν ἐγίνωσκον. οὗτος οὖν ὁ ποιμὴν ὑπῆρχε ποιμὴν τῶν προβάτων τοῦ Ἀμολίου τοῦ βασιλέως. καὶ τὰ παιδία ὡς ἠνδρώθησαν, ἔβλεπον καὶ ἐφύλαττον τὰ πρόβατα τοῦ βασιλέως, ἅτινα εἶχεν ὁ πατὴρ αὐτῶν. εἶχε δὲ καὶ ὁ Νεμέτωρ ὁ ἀληθὴς πάππος αὐτῶν τῶν παιδίων ποιμένα καὶ πρόβατα ἐκεῖ πλησίον τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Ἀμολίου. ὡσὰν γοῦν ὁ θεὸς θέλει ἵνα ποιήσῃ ὅπερ βούλεται, ἀφορμαὶ οὐδὲν λείπουσιν.

ϙδ΄. μάχη τοῦ Ῥώμου καὶ τοῦ Ῥωμύλου μετὰ τῶν ποιμένων τοῦ πάππου αὐτῶν.

τὰ παιδία ἔρχονται εἰς ὄχλησιν διὰ τὰ πρόβατα μετὰ τῶν ποιμένων τοῦ πάππου αὐτῶν τοῦ Νεμέτορος. οὗτοι γὰρ ὁ Ῥῶμος καὶ ὁ Ῥωμύλος — οὕτως γὰρ ὠνόμασεν αὐτοὺς ὁ θετὸς πατὴρ αὐτῶν — ἀπὸ ἀλαζονείας ἔτυψαν τοὺς ποιμένας τοῦ Νεμέτορος καὶ ὕβρισαν. οἱ δὲ ἀνέφερον τοῦτο πρὸς τὸν Νεμέτορα, καὶ ὁ Νεμέτωρ ἀνέφερεν αὐτὸ πρὸς τὸν ἀδελφὸν αὐτοῦ τὸν βασιλέα τὸν Ἀμόλιον. καὶ ὁ Ἀμόλιος, ἵνα μηδὲν παροξυνθῇ ὁ ἀδελφὸς αὐτοῦ ὡς καταφρονούμενος καὶ ἀναγκασθῇ καὶ ποιήσῃ ἀπόστασιν, παρέδωκεν καὶ τὸν ποιμένα καὶ τὰ παιδία ταῦτα εἰς τὰς χεῖρας αὐτοῦ, ἵνα ποιήσῃ εἰς αὐτοὺς ὥσπερ θέλῃ μέχρι θανάτου. οὗτοι γοῦν ἐπειδὴ ἐγένοντο δέσμιοι ἔμπροσθεν τοῦ Νεμέτορος, ἀπὸ λόγους εἰς λόγους ἐντὸς τοῦ οἴκου αὐτοῦ ἀνεγνωρίσθησαν ὡς ἔγγονοι αὐτοῦ. διηγήθη γὰρ ὁ

ϙε΄. ἀναγνώρισις Ῥώμου καὶ Ῥωμύλου πρὸς τὸν πάππον αὐτῶν.

ποιμὴν ἐκεῖνος ἐξ ἀρχῆς περὶ τῶν παιδίων. καὶ τότε ὁ Νεμέτωρ ἐφίλησεν καὶ ἔκλαυσεν εἰς αὐτοὺς καὶ συνεβουλεύθη μετ᾽ αὐτῶν καὶ ἐν ὀλίγῳ καιρῷ κατασκευάζουσιν μετὰ τρόπου φρονίμου καὶ ἐκβάλλουσι τὸν Ἀμόλιον ἀπὸ τῆς βασιλείας καὶ παραδιδόασιν αὐτὴν τῷ πάππῳ αὐτῶν τῷ Νεμέτορι. οὗτοι δὲ ἔλαβον χρήματα καὶ ἀνθρώπους καὶ εἴ τι ὑπῆρχε χρήσιμον καὶ ἐξῆλθον ἐκ τῆς Ἄλβας καὶ ἔκτισαν τὴν Ῥώμην. εἰς τὴν κτίσιν γοῦν τῆς Ῥώμης ὀχλήθησαν οἱ ἀδελφοὶ καὶ πολεμοῦσιν καὶ ἀποκτείνει ὁ Ῥωμύλος τὸν Ῥῶμον καὶ γίνεται μόνος κτήτωρ καὶ οἰκιστὴς τῆς Ῥώμης καὶ καλεῖ ταύτην ἀπὸ τοῦ ὀνόματος αὐτοῦ Ῥώμην. οὗτος γοῦν ὁ Ῥωμύλος οὐκ ἔκτισε ναὸν τῆς Ἑστίας οὐδὲ ἔστησε παρθένους ἵνα φυλάττωσι τὸ ἄσβεστον πῦρ, ἵνα μὴ ἐνθυμίζῃ εἰς τοὺς ἀνθρώπους τὸ πάθος ὅπερ ἔπαθεν ἡ μήτηρ αὐτοῦ καὶ ἐπόρνευσε μία οὖσα τῶν παρθένων τῶν τῆς Ἑστίας.

ϙϛ΄. ὅτι ὁ Νομᾶς ἔκτισε τὸν ναὸν τῆς Ἑστίας εἰς τὴν Ῥώμην.

ὁ δὲ δεύτερος βασιλεὺς τῆς Ῥώμης ὁ Νομᾶς Πομπίλιος οὗτος ἔκτισε τὸν ναὸν τῆς Ἑστίας εἰς τὴν Ῥώμην καὶ ἐποίησε πᾶσαν τὴν συνήθειαν αὐτὴν τὴν παλαιὰν εἰς τὸν ναὸν τοῦτον μετὰ τῶν παρθένων καὶ τοῦ ἀσβέστου πυρός. ἦν γὰρ ἀνάγκη ὅτι εἰς τὸν ναὸν τοῦτον τῆς Ἑστίας εἶναι τὸ πῦρ ἄσβεστον δι᾽ ὅλου τοῦ χρόνου ἡμέρα καὶ νύκτα εἰς ὅλους τοὺς χρόνους — διὰ τοῦτο καὶ ἀθάνατον λέγεται. ἀπὸ τῆς αἰτίας ταύτης ἡμεῖς λέγομεν τὸ πῦρ βαρβαρίζοντες ἱστίαν, διότι εἰς τὸν ναὸν τῆς Ἑστίας ὑπῆρχεν ἀεί ποτε τὸ πῦρ ἄσβεστον. εἰς τοῦτον τὸν

1 ἐξαρχῆς Vat. 12 μόνως Vat.

ναὸν τῆς Ῥώμης λέγει ὁ Διονύσιος ὅτι ἐφυλάττετο ὑπὸ τῶν παρθένων καὶ ἐτιμᾶτο καὶ τὸ παλλάδιον ἐκεῖνο ὅπερ ἐκόμισεν καὶ ἤγαγεν ὁ Αἰνείας ἀπὸ τῆς Τρωάδος καὶ ἔθηκεν εἰς τὸ Λαιούνιον, ἔνθα φυλάττουσιν αἱ ἱεραὶ παρθένοι καὶ τὸ πῦρ ἄσβεστον. διὰ δὲ ταπεινοφροσύνην πεπαιδευμένῳ ἀνθρώπῳ πρέπουσαν λέγει ὅτι ἐγὼ μὲν οὕτως στοχάζομαι ἀπὸ τῆς γραφῆς τῶν ἱστορικῶν, ὅμως ἐνδέχεται εἶναι ἐν τῷ ναῷ τούτῳ τῆς Ἑστίας ἕτερα πράγματα παρὰ ταῦτα, ἅπερ ἡμεῖς οἱ ἀνάξιοι καὶ μεμιασμένοι καὶ ἁμαρτωλοὶ οὐ γινώσκομεν. καὶ ἐνταῦθα καταλήγει ὁ λόγος ὁ περὶ τῶν τρωικῶν θεῶν δι᾽ οὓς ἐμνημόνευσε πάλιν τῆς Σαμοθράκης ὁ Διονύσιος, ὡς τῶν θεῶν τούτων καὶ τῶν παλλαδίων πρῶτον ἀπὸ τῆς Ἀρκαδίας κατ-αντησάντων ἐκεῖ καὶ τιμηθέντων καὶ τιμωμένων καὶ ἑορταζομένων μέχρι τῶν ἡμερῶν αὐτοῦ παρὸ εἰς τοὺς ἄλλους Ἕλληνας. καὶ οὕτως παύομεν καὶ ἡμεῖς τὸν περὶ τούτων λόγον καὶ τὴν ἄμετρον καὶ παρακαίριον πολυλογίαν. ἡ γὰρ ἐπιθυμία τοῦ ποιῆσαί τι πρᾶγμα εἰς ἀνάπαυσιν τῆς αὐθεντίας σου καὶ αἱ συμπεπλεγμέναι τοῖς λόγοις τοῦ Διονυσίου ἱστορίαι καὶ τὰ ὀνόματα τῶν τόπων καὶ οἱ μῦθοι τῶν Ἑλλήνων καὶ ἡ αἰτία τῆς συγγραφῆς τῆς ἱστορίας ταύτης τοῦ Διονυσίου ἠνάγκασάν με εἰς τοσαύτην πολυλογίαν ἐλθεῖν, ὑψηλότατε καὶ μεγαλοπρεπέστατέ μοι αὐθέντα, ἥτις εἰ μὲν ἔχει ἢ ἕξει τι χρήσιμόν ποτε τῶν καιρῶν, ἐξέβη ὅπερ ἠβουλήθημεν καὶ οὗ στοχασάμενοι γράψαι ταῦτα διενοήθημεν. εἰ δὲ τὸ ἐναντίον ἅπαν ἐστίν, οὐδενὸς βλαπτομένου ἡ μέμψις καὶ ἡ κατηγορία, μᾶλλον δὲ ἡ

20 αὐθεντία Vat.

ματαιότης καὶ τῆς πολυλογίας τὸ ἄχρηστον εἰς ἐμὲ τὸν ταῦτα καὶ οὕτως λέγειν προειρημένον ἐπανελεύσεται. εἰς τοῦτο γὰρ μόνον παρ' οὐδενὸς μεμφθήσομαι, καθ' ὅσον προθύμως δρισμόν τινα τῆς ὑψηλοτάτης αὐθεντίας σου ἐκπεπλήρωκα.

5 αὐθεντία Vat.



INDICES.

I.

ΠΙΝΑΞ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΒΙΒΛΙΟΥ.

Fontes seu testimonia.

γ΄. Epistologr. gr. ed. Hercher p. 69 Didot. *δ΄.* Herod. I, 65. Plut. Lyc. 5. Suid. s. v. *ιδ΄.* de Cleopatra chemiae perita cf. Fabric., bibl. Gr. ed. I. vol. XII, p. 759. 768. *ιζ΄. ιη΄.* Dionys. I, 7. *ιθ΄.* Dionys. I, 4.

κ'. ὅτι ὁ Διονύσιος ἐναντία εὕρισκε τὰ τῶν Ῥωμάνων πράγματα παρὸ ἔλεγον οἱ Ἕλληνες.
κα'. διὰ ποίας αἰτίας ἦλθεν ὁ Διονύσιος εἰς τὸ γράψαι τὴν ἱστορίαν τῆς Ῥώμης.
κβ'. ὅτι βούλεται ἵνα δείξῃ ὁ Διονύσιος, ὅτι οἱ Ῥωμᾶνοι οὐκ ἦσαν βάρβαροι, ἀλλὰ γένος ἑλληνικόν.
κγ'. ὅτι καθὼς λέγει ὁ Διονύσιος οἱ θεοὶ αὐτοῦ δικαίως ἐτίμησαν τὴν Ῥώμην διὰ τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην τῶν Ῥωμάνων.
κδ'. ὅτι θερμὸς ἦν ὁ Διονύσιος εἰς τὴν πίστιν αὐτοῦ τὴν ἑλληνικήν.
κε'. ὅπως οὐχ οἱ θεοὶ τοῦ Διονυσίου καὶ τῶν Ἑλλήνων ἐτίμησαν καὶ ηὔξησαν τὴν Ῥώμην, ἀλλ' ὁ τρισυπόστατος θεός, ἐπειδὴ ἔμελλεν πρώτη δέξασθαι το μυστήριον τοῦ χριστιανισμοῦ διὰ τῆς διδαχῆς Πέτρου καὶ Παύλου καὶ γενέσθαι κεφαλὴ τῆς ἐκκλησίας Χριστοῦ.
κϛ'. ὅτι διὰ τὴν χριστοκτονίαν ὠργισμένης οὔσης ὑπὸ τοῦ θεοῦ τῆς Ἱερουσαλὴμ ἀντ' ἐκείνης ὁ θεὸς τὴν Ῥώμην ἀνύψωσε, δι' ἧς καὶ ἠφάνισε καὶ διέφθειρεν αὐτὴν διὰ τῶν χειρῶν Τίτου καὶ Οὐαισπασιανοῦ βασιλέων καὶ στρατηγῶν τῆς Ῥώμης.
κζ'. ὅτι ἡ Ῥώμη μέχρι τῆς σήμερον κεφαλὴ τοῦ κόσμου ἐστὶν διὰ τὴν ἐκκλησίαν καὶ τὸ τοῦ πάπα ἀξίωμα.
κη'. δευτέρα αἰτία δι' ἣν ἦλθεν εἰς τὴν ἱστορίαν τῆς Ῥώμης ὁ Διονύσιος.
κθ'. τρίτη αἰτία δι' ἥντινα ἦλθεν ὁ Διονύσιος εἰς τὴν ἱστορίαν τῆς Ῥώμης.
λ'. πρῶτος στόλος Ἑλλήνων εἰς Ἰταλίαν, ὃν ἤγαγεν Οἴνωτρος.
λα'. δεύτερος στόλος ἑλληνικὸς εἰς Ἰταλίαν τῶν καλουμένων Πελασγῶν.
λβ'. τρίτος στόλος ἑλληνικὸς εἰς Ἰταλίαν, ὃν ἤγαγεν Εὔανδρος.
λγ'. τέταρτος στόλος ἑλληνικὸς εἰς Ἰταλίαν, ὃν ἤγαγεν Ἡρακλῆς.
λδ'. διὰ τίνα αἰτίαν ἀπῆλθεν ὁ Ἡρακλῆς μέχρι τοῦ ἄκρου τῆς γῆς.
λε'. πῶς ἐτιμήθη ὁ Ἡρακλῆς ὡς θεός.
λϛ'. ὅτι οἱ καταλειφθέντες εἰς Ἰταλίαν ὑπὸ Ἡρακλέους Ἕλληνες εἰς τὸν λεγόμενον Σατόρνιον, ὕστερον δὲ Καπιτωλῖνον κατῴκησαν λόφον.
λζ'. ὅτι ἀπὸ τῆς κεφαλῆς ἥτις εὑρέθη ἐν τῷ λόφῳ τούτῳ κτιζομένου τοῦ ναοῦ ὑπὸ τὸν ἔγγονα τοῦ Ταρκυνίου ὁ λόφος ἐκλήθη Καπιτωλῖνος.
λη'. ἀπόφασις τοῦ μάντεως περὶ τῆς εὑρεθείσης κεφαλῆς ἐν τῷ Σατορνίῳ λόφῳ ἐν τοῖς θεμελίοις τοῦ κτιζομένου ναοῦ.
λθ'. ὅτι ὁ λόφος οὗτος καὶ ἀπὸ γυναικὸς Ταρπηίας ἥτις

κ'—κγ'. Dionys. I, 5. 6. κη'. κθ'. Dionys. I, 6. λ'. Dionys. I, 11. λα'. Dionys. I, 17. λβ'. Dionys. I, 31. λγ'—λϛ'. Dionys. I, 34. λζ'. Dionys. IV, 59. λη'. Dionys. IV, 60. 61. de nummo nihil ibi commemoratur.

παρέδωκε τὸ ἐν αὐτῷ φρούριον τοῖς Σαβίνοις Ταρπήιος ὠνομάσθη.

μ'. ὅτι τὸ φανερὸν καὶ ὁμολογούμενον ἡ Ῥώμη ἀπὸ τῶν ἀπογόνων τῶν Τρώων ἐκτίσθη καὶ οἰκίσθη.

μα'. ὅτι ὁ βαρβαρισμὸς διὰ τὸ γένος καὶ τὴν γλῶσσαν λέγεται, οὐ διὰ τὴν πίστιν.

μβ'. ἀπόδειξις ὅτι καὶ τῶν Τρώων τὸ γένος ἑλληνικὸν ἦν.

μγ'. περὶ Ἄτλαντος τοῦ βασιλέως τῆς Ἀρκαδίας καὶ τῶν θυγατέρων αὐτοῦ.

μδ'. ὅπως ὁ Ζεὺς ἐποίησεν τὰς θυγατέρας τοῦ Ἄτλαντος ἀστέρας.

με'. ὅτι τὸ λεγόμενον ἑξάστερον ἢ καὶ πουλία λέγεται αἱ θυγατέρες τοῦ Ἄτλαντός εἰσι κατὰ τὸν μῦθον.

μϛ'. γενεαλογία τοῦ Δαρδάνου καὶ τῶν υἱῶν αὐτοῦ.

μζ'. περὶ τοῦ μεγάλου κατακλυσμοῦ ὅστις ἐγένετο εἰς τὴν Ἀρκαδίαν καὶ ὅπως ἔφυγον ἐκεῖθεν οἱ Ἀρκάδες διὰ στέρευσιν τῆς τροφῆς.

μη'. περὶ τῆς διαιρέσεως τῆς ὅλης γῆς εἰς Ἀσίαν καὶ Λιβύην καὶ Εὐρώπην.

μθ'. περὶ τῆς Θράκης τίς ἐστιν.

ν'. ὅτι ὁ Δάρδανος ἐξελθὼν ἀπὸ τῆς Ἀρκαδίας κατήντησεν μετὰ τοῦ στόλου αὐτοῦ εἰς τὴν Σαμοθράκην καὶ ὅπως ὠνομάσθη τὸ νησίον τοῦτο Σαμοθράκη.

να'. περὶ νυμφῶν τίνες εἰσὶν καὶ πόσα γένη τούτων εἰσὶν καὶ ὅτι γένη δαιμόνων εἰσίν, ἃ καλοῦσιν οἱ κοινοὶ βαρβαρίζοντες νεραγίδας.

νβ'. τίνα συνήθειαν εἶχον οἱ Ἕλληνες καὶ ὅπως τοὺς προτερημένους ἀνθρώπους ἐκάλουν ἥρωας, τὰς δὲ προτερημένας γυναῖκας νύμφας.

νγ'. τί ἐποίησαν οἱ Ἀθηναῖοι παραγενομένου τοῦ καίσαρος εἰς τὰς Ἀθήνας.

νδ'. ὅτι οἱ Ἕλληνες καὶ ὁ Δάρδανος ὀλίγον χρόνον ποιήσαντες εἰς τὴν Σαμοθράκην οἱ πλείονες πάλιν ἐπέρασαν εἰς τὴν ἀνατολήν.

νε'. περὶ τοῦ θανάτου Ἰάσου τοῦ ἀδελφοῦ Δαρδάνου ὑπὸ κεραυνοῦ εἰς τὴν Σαμοθράκην.

νϛ'. περὶ τοῦ Ἑλλησπόντου τίς ἐστι καὶ ἱστορία ὅπως ἐκλήθη Ἑλλήσποντος.

νζ'. ὅπως ἐμερίσθησαν ὁ Δάρδανος καὶ ὁ υἱὸς αὐτοῦ Ἰδαῖος.

νη'. τίς ἐστιν ἡ Φρυγία καλουμένη.

νθ'. ὅτι ὁ Ἰδαῖος κατῴκησεν εἰς τὰ ὑψηλὰ ὄρη τῆς Φρυγίας, ἅτινα ὠνόμασεν Ἰδαῖα.

μ'. Dionys. I, 60, 3. μβ'—μζ'. Dionys. I, 61. μγ'. Nomina Pleiadum et quae sequuntur non leguntur apud Dionysium. cf. Eudocia p. 566. ed. Flach. ν'. Dionys. I, 61. να'. Eudoc. p. 507 ed. Flach. νβ'. Eustath. Il. p. 17. Eudoc. p. 350 ed. Flach. νδ'. νε'. Dionys. I, 61. νϛ'. Philostephanus ap. Schol. Il. *H* 86. 45, 22 Ἀθηναῖοι pro Θηβαῖοι per lapsum calami scriptum est. νζ'. Dionys. I, 61. νθ'. Dionys. I, 61.

ξ΄. πῶς ὀνομάζουσι σήμερον οἱ Τοῦρκοι τὰ Ἰδαῖα ὄρη.
ξα΄. περὶ τῆς μητρὸς τῶν ἑλληνικῶν θεῶν τῆς Ῥέας καὶ περὶ τοῦ Κρόνου τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν υἱῶν αὐτῶν καὶ τῶν θυγατέρων.
ξβ΄. οὗτος ὁ Ἥφαιστος λατινικῶς λέγεται Βουλκάνος.
ξγ΄. μερισμὸς τῆς βασιλείας τοῦ Κρόνου ὑπὸ τῶν υἱῶν αὐτοῦ.
ξδ΄. διὰ τί λέγεται Πλούτων ὁ Ἅιδης.
ξε΄. τίς ἐστιν ἡ δύναμις τῆς θεᾶς τῆς Ἑστίας καὶ τῆς θεᾶς τῆς Δήμητρος.
ξς΄. ὅτι ἡ πυροστία πῦρ τῆς Ἑστίας λέγεται.
ξζ΄. περὶ τοῦ Δαρδάνου ὅπως κατῴκησεν εἰς τὸν Ἑλλήσποντον καὶ ἔκτισε καὶ πόλιν Δάρδανον.
ξη΄. ὅτι καὶ ἀπὸ τοῦ Δαρδάνου καὶ ἀπὸ τοῦ Τεύκρου ἡ χώρα τῶν Τρώων οἰκισθεῖσα ποιεῖ τοὺς Τρῶας καὶ τὰ ἀπόγονα αὐτῶν Ἕλληνας εἶναι.
ξθ΄. ἑτέρα αἰτία δι᾽ ἣν μνημονεύει τῆς Σαμοθρᾴκης ὁ Διονύσιος.
ο΄. περὶ τῆς ἁρπαγῆς τῆς Ἑλένης ὑπὸ Ἀλεξάνδρου τοῦ Πάριδος.
οα΄. περὶ τῆς κατασκευῆς τοῦ ξυλίνου ἵππου δι᾽ οὗ ἔλαβον τὴν Τρωάδα οἱ Ἕλληνες.
οβ΄. περὶ τοῦ πατρὸς τοῦ Πριάμου τοῦ Λαομέδοντος ὅπως ἐπέρασεν εἰς Μιτυλήνην.
ογ΄. περὶ τοῦ Αἰνείου ὅπως ἀνέβη εἰς τὴν ἀκρόπολιν τῆς Τρωάδος, ὡς ἐνόησεν ὅτι εἰσήλθοσαν οἱ Ἕλληνες εἰς τὴν Τροίαν.
οδ΄. φυγὴ τοῦ Αἰνείου ἀπὸ τῆς ἀκροπόλεως μετὰ ἀσφαλείας ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τῆς Τρωάδος.
οε΄. συμβίβασις Ἑλλήνων καὶ τοῦ Αἰνείου καὶ χρησμὸς ὃν ἔλαβε παρὰ τῶν θεῶν ὁ Αἰνείας περὶ τῆς ἀποδημίας αὐτοῦ.
ος΄. ἄφιξις τοῦ Αἰνείου εἰς Λαρεντὸν τῆς Ἰταλίας ἔνθα ἔφαγεν ὁ στρατὸς τὰς τραπέζας αὐτῶν ἤγουν τὰ ὑπεστρωμένα σέληνα.
οζ΄. περὶ τῆς χοίρου ἥτις ἔτεκε τριάκοντα εἰς τὸν τόπον ὃν ὁ Αἰνείας ἔμελλε κτίσαι τὴν πόλιν κατὰ τὸν χρησμόν.
οη΄. περὶ Λατίνου τοῦ βασιλέως τῆς χώρας Λατίνων.
οθ΄. συμβίβασις Λατίνου καὶ Αἰνείου καὶ κτίσις τοῦ Λαιουνίου.
π΄. κτίσις μετὰ τριάκοντα χρόνους τῆς Ἄλβας Λούγκας.
πα΄. ὅτι ὁ ἱστορικὸς Καλλίστρατος ἔγραψεν κεχωρισμένην ἱστορίαν περὶ τῆς Σαμοθρᾴκης νήσου.
πβ΄. περὶ τῶν θεῶν καὶ τῶν παλλαδίων ἃ ἔδωκεν ἡ Ἀθηνᾶ

ξα΄. de Iunone et Vulcano Schol. Il. *Α* 609. ξδ΄. Cornutus 5. Eudoc. p. 21 ed. Flach. ξζ΄. Dionys. I, 61. ξθ΄. Dionys. I, 67. ο΄. οα΄. Eudoc. p. 673 sqq. ed. Flach. numerum 700 nusquam inveni. ογ΄—οε΄. Dionys. I, 46. 47. οε΄—ος΄. Dionys. I, 55. οζ΄. Dionys. I, 56. οη΄. οθ΄. Dionys. I, 57—59. π΄—πβ΄. Dionys. I, 66—68.

πρὸς Χρύσην τοῦ Δαρδάνου τὴν γυναῖκα.

πγ'. περὶ τῶν ναῶν τῆς Ἀθηνᾶς καὶ τοῦ Ἄρεως, ποῦ ἐκτίζοντο παρὰ τῶν Ἑλλήνων.

πδ'. ὅτι ὁ Δάρδανος ἔκτισε ναὸν εἰς τὴν Σαμοθράκην καὶ ἔθηκε τοὺς θεοὺς καὶ τὰ παλλάδια.

πε'. ὅπως ἐξῆλθεν ἀπὸ τῆς Σαμοθράκης ὁ Δάρδανος καὶ κατέλιπεν ἐκεῖ τὸν Σάμωνα μετ' ὀλίγων ἀνθρώπων.

πϛ'. ὅπως οἱ Σαμοθρακῖται εἶχον καύχημα καὶ τιμὴν εἰς τοὺς ἄλλους Ἕλληνας τοὺς θεοὺς τούτους καὶ τὰς ἑορτὰς αὐτῶν καὶ τὰ μυστήρια, ἅπερ οἱ λοιποὶ Ἕλληνες οὐκ ἐγίνωσκον.

πζ'. χρησμὸς ὃν ἔλαβεν ὁ Δάρδανος περὶ τῆς πόλεως ἣν ἔκτισε καὶ περὶ τῆς τιμῆς τῶν θεῶν καὶ τῶν παλλαδίων.

πη'. ὅτι ὁ Ἶλος ὁ υἱὸς τοῦ Τρωὸς ἔκτισε τὸ Ἴλιον καὶ ἔκτισεν ἐν αὐτῇ ἀκρόπολιν καὶ ναὸν καὶ μετεκόμισεν ἀπὸ τῆς Δαρδάνου τοὺς θεοὺς καὶ τὰ παλλάδια καὶ κατέθηκεν εἰς τὸ Ἴλιον.

πθ'. περὶ τῆς κλοπῆς τοῦ παλλαδίου ἀπὸ τῆς ἀκροπόλεως τοῦ Ἰλίου ὑπὸ Διομήδους καὶ Ὀδυσσέως.

ϙ'. τί γράφει ὁ ποιητὴς Ἀρκτῖνος περὶ τοῦ κλαπέντος παλλαδίου ὑπὸ Διομήδους καὶ Ὀδυσσέως, ὅτι ὑπῆρχε σκευαστὸν καὶ οὐ τὸ πρωτότυπον.

ϙα'. ὅτι οἱ Σαμοθρᾷκες τιμῶσι τοὺς θεοὺς τούτους περισσότερον τῶν ἄλλων Ἑλλήνων.

ϙβ'. περὶ τοῦ ναοῦ τῆς Ἑστίας ὅστις ἦν εἰς τὴν Ῥώμην, ὅτι οὐκ ἔκτισεν αὐτὸν ὁ Ῥωμύλος διὰ τὴν αἰτίαν τῆς μητρὸς αὐτοῦ, ἀλλ' ἔκτισεν αὐτὸν ὁ Νομᾶς Πομπίλιος. καὶ ἱστορία περὶ τῆς μητρὸς αὐτοῦ καὶ τοῦ πάππου καὶ τοῦ θείου αὐτοῦ.

ϙγ'. ὅπως περιέθαλπε τὸν Ῥῶμον καὶ τὸν Ῥωμύλον ἡ λύκαινα βρέφη ὄντα.

ϙδ'. μάχη τοῦ Ῥώμου καὶ τοῦ Ῥωμύλου μετὰ τῶν ποιμένων τοῦ πάππου αὐτῶν.

ϙε'. ἀναγνώρισις Ῥώμου καὶ Ῥωμύλου πρὸς τὸν πάππον αὐτῶν.

ϙϛ'. ὅτι ὁ Νομᾶς ἔκτισε τὸν ναὸν τῆς Ἑστίας εἰς τὴν Ῥώμην.

πγ'. Dionys. VI, 13, 4. *πδ'—πε'*. Dionys. I, 68. *πϛ'*. Dionys. I, 69. *πζ'*. Dionys. I, 68 s. f. *πη'*. Dionys. I, 69. de Troe et Ilo aliunde sumpsit cf. Eudoc. p. 670 ed. Flach. ϙ'. Dionys. I, 68. ϙα'. Dionys. I, 69 s. f. ϙβ'. Dionys. II, 64—66. ϙβ'—ϙε'. Dionys. I, 76 sqq. ϙϛ' Dionys. II, 64—66.

II.

INDEX NOMINVM ET RERVM.

III.

INDEX GRAECITATIS.

*Asterisco notata sunt vocabula quae in Stephani et Sophoclis lexicis et in Cumanudis *συναγωγῇ λέξεων ἀθησαυρίστων* desiderantur.

69, 21. pro gen. comparativo: διαφορὰν ἀπὸ τῶν ἄλλων 5, 22. προτίμησιν ἀπὸ τῶν ἄλλων 6, 3. — ἀπὸ τότε 33, 23.
ἀποβάλλομαι = ἀμβλίσκω. aor. ἀπεβάλθη 73, 1. cf. ἐκτιτρώσκω.
ἀπογιγνώσκω. ἀπεγνωσμένος 3, 1.
ἀπόζω. ἔτι γὰρ οἱ Χριστιανοὶ ἀπόζουσι καὶ μυρίζουσιν ἑλληνικῆς ἀσχημοσύνης 42, 12.
ἀπόκομμα. ἀ. τῆς σοφίας τοῦ θεοῦ 4, 8.
ἀποκρισιάριος. πρέσβεις ἤγουν ἀποκρισιαρίους 32, 27. 58, 12.
ἀπολαύω. aor. ἀπήλαυσα 27, 16.
ἀπολιθόω 10, 18.
ἀπόλλυμι. aor. med. ἀπολέσθωσαν 21, 4.
*ἀπ' ὄξω, αἱ, dicuntur neraides 42, 11. cf. Bernh. Schmidt, Volksleben der Neugriechen I, 91. Derivat vocem Canabutzes a verbo ἀπόζω. — Ducang. app.
ἀπόῤῥοια 12, 4.
ἀποτέλεσμα 7, 12. 10, 28. 11, 18.
ἀπόφασις 13, 12. 34, 1.
ἄπρακτος infecta re 55, 16.
ἄπταιστος 8, 19.
*ἀρηκόν. κεραυνὸς δέ ἐστιν ὅπερ οἱ ἰδιῶται λέγουσιν ἀρηκόν 44, 19. Ducang. app.
ἀρκύμια dici barbarice pro chymia, ortum esse ex ἄρτε κύμια voce italica 11, 2.
ἅρματα, τά. lat. ἔνοπλος ἤγουν μετὰ ἁρμάτων 63, 4.
ἁρματόω. ὡπλισμένον ἤγουν ἁρματωμένον 72, 11.
*ἀρμπέργον (arberga) gens vel familia penes Genuenses 51, 14. 15. Ducang. app.
Articulo utitur loco insolito: ὁ κόσμος ἐστὶν ἡ σοφία 6, 23. cf. 12, 8. ὁ Σάμων ἐστὶν ὁ οἰκιστὴς καὶ ὁ ὀνομάσας 43, 25.
ἀρχηγός 30, 1.
ἀσελγής. πόρνους καὶ ἀσελγεῖς 36, 20.
ἀστροθεάμων vocatur astronomia 8, 26.
ἀσφάλεια. μετὰ πολλῆς ἀσφαλείας καὶ παρακλήσεως 2, 18.
ἄσφαλτος. ἀ. γεωμετρία 8, 19.
ἀσχημοσύνη 42, 12. cf. ἀπόζω.
Augmentum: duplex ἐσυνέβη 18, 4. ἐσυνήχθησαν 58, 9. neglectum κατόρθωσε 6, 8. οἴκισαν 34, 29. οἴκισεν 41, 24. ἁρματωμένος 72, 11. ὀχλήθησαν 74, 10.
αὐθέντης. ὑψηλότατος καὶ μεγαλοπρεπέστατος 1, 3. 7. 20. 75, 25. περιφανέστατος 2, 1. πάντας τοὺς αὐθέντας 3, 15. οἱ αὐθένται 4, 18. 3, 26, ubi V. αὐθέντες.
αὐθεντία. ἡ αὐθ. σου 1, 6. saepius. ἡ αὐθ. σου ἀκούεις 2, 23. τῆς ὑψηλοτάτης αὐθ. σου. 76, 4.
αὐτάδελφος 1, 20.
ἀφαιρέω. aor. coni. ἀφαιρήσῃ 7, 10.
ἀφανής 16, 27.
ἀφανίζω 17, 5. 22, 9. 11. 55, 10.
ἀφίημι. aor. coni. ἀφήσῃ 27, 20. 31, 13. ἀφῆκεν 31, 18. 37, 9. 65, 17. 21.
ἀφορμή. ἡ αἰτία καὶ ἡ ἀ. 15, 9. 73, 15.
ἀφ' οὗ = cum 31, 28. 57, 12. 59, 7. 61, 22.

ἔγγιστα fere. ἔγγ. τὸ ἥμισυ 20, 14.
ἔγγονος acc. ἔγγονα cap. λζ'.
ἐθνικός 53, 9.
εἰ cum coniunctivo. εἰ ἐρωτήσῃ τις 10, 15. 16.
εἶπον. εἴπατε 33, 16. εἴπημεν 54, 13.
εἰς pro ἐν saepissime utitur.
εἷς pro articulo indefinito saepius.
εἰσέρχομαι. imperf. εἰσήρχετο 69, 22.
εἴτε — εἴτε utrum — an 41, 14. εἴτε — ἤ sive — sive 51, 20. 21.
εἴ τις quicunque. εἴ τι 13, 15. 20, 25. 56, 6. 57, 8. 65, 19. 74, 8. εἴ τινες 63, 8.
ἐκλεκτός 35, 9. 57, 5.
ἐκτιτρώσκω. ἔκτρωσεν ἤγουν ἀπεβάλθη 73, 3. cf. ἀποβάλλομαι.
*ἕκτον, τό, radius orbis. λαμβάνουσι μετὰ τῆς σέστας τὸ ἕκτον τοῦ κύκλου .. καὶ μετὰ τοῦ ἕκτου τούτου περιγράφουσι 8, 14. 16. — 10, 6.
ἔκτοτε. ἔ. ἀφ' οὗ 14, 18.
ἐλαττόω 27, 2.
ἐλευθερόω. ἀπό τινος 27, 4.
ἐλπίζω. ἤλπιζα 14, 20. ἤλπιζεν 13, 3.
ἐνανθρώπησις 21, 9. 23, 19.
ἐνδέχεται c. acc. c. inf. fieri potest ut 12, 25. 75, 8.
ἔνδοξος 26, 22.
ἐνέργεια 14, 1.
ἐνθυμέομαι 68, 18.
ἐνθύμησις 31, 3.
ἐνθυμίζω 74, 16.
ἔνι = εἶνε, pro ἐστὶν et εἰσίν 3, 29. 13, 9. 26, 5. pro coniunctivo ἐφοβοῦντο μήποτε ἔνι τίποτες ἐπιβουλή 55, 8. εἶναι scriptum 74, 24, cf. ὅτι.
ἐντόπιος 31, 14. ἐ. γένος 51, 28. βάρβαροι 52, 3.
ἐξαδελφή = ἀνεψιά 72, 20.
ἐξαίρετος 43, 2. 66, 3.
ἐξάστερον cf. πουλία.
ἐξέρχομαι. aor. ἐξήλθοσαν 62, 14.
ἐξέτασις 18, 21.
ἐξισάζειν 10, 3.
ἔξοδος. plur. reditus pecuniae 61, 19.
ἔξω. ἔξω πάσης ἀληθείας 16, 21.
ἐπαρχία. ἃς οἱ Λατῖνοι καλοῦσι προβίντζιας 40, 11. 15. 18.
ἐπιβουλεύω. τινὰ 45, 18.
ἐπίλοιπος. τὴν ἐπίλοιπον χώραν 52, 5.
ἐπιστημονικός. χωρὶς τῆς ἑκάστου ἐπιστημονικῆς ἀκριβείας 10, 21.
ἐπιτηδειότης. βασιλικὴ ἐ. 11, 29.
ἔρχομαι. aor. ἤλθοσαν 52, 10. 58, 12. 60, 15. ἤλθασιν 54, 1.
ἐρωτικός. ἠγάπα ἐρωτικῶς 48, 25.
εὐδοκέω 21, 8. 23, 20.
εὐεργέτις 44, 24.
εὐημερία 16, 25. 25, 6. 26, 19. 26.
εὐθυμία. ἐτέθη (ὁ μῦθος) δὲ διὰ εὐθυμίαν 37, 17.
εὔκολος 64, 24.
εὔλογος 15, 5. 14. 22, 2. εὐλόγως 19, 19.
εὐμένεια 25, 11.
εὐμορφία 6, 23. 7, 23.
εὐπρεπής 24, 26.
εὕρεμα 6, 26. 7, 27.
εὑρετίς 44, 24 ut oxytonon, unde refeci 12, 9.
ἔχω. περὶ πολλοῦ 14, 20. 29, 5. ἔχειν ὡς 35, 2. 12. 36, 21. c. acc. πατέρα 73, 6.

παρθενεύω 72, 4.
παρὸ vel παρά c. accus. = ἤ 3, 11. 12, 19. 19, 22. 21, 27. 29. 23, 4. 26, 7. 33, 2. 11. ἐξαίρετα παρὸ τοὺς ἄλλους 66, 3. ἕτερα παρὰ ταῦτα 75, 9. τὸν πρῶτον παρὸ τῶν ἄλλων 49, 27. — = πλεῖον ἤ 4, 14. 12, 13. 25, 22. 25. 39, 8. 75, 16. — = aeque 5, 23. 25.
παροράω. παρεωραμένη 23, 22.
παρόσον 25, 26.
πατρικός 38, 2.
παύω. activa forma sensu mediae. ἔπαυσεν ὁ ἑλληνισμός 66, 5.
παχύς cf. χυδαῖος.
πεῖρα. ἔμαθον διὰ τῆς πείρας 14, 27.
πέλαγος. τὰ μεγάλα πελάγη 8, 25.
πελαγόω navigo 40, 3. (haec notio ignota.)
πελεκάνος 8. η′. faber lignarius.
*περίγρα cf. σέστα.
περιγραφή 41, 7.
περικοπή. τὰς περικοπὰς τοῦ Διονυσίου 14, 19.
περιφάνεια 24, 1.
περιφανής 2, 1. 11, 26. 26, 23.
περιχάρεια 2, 17. 14, 28.
περιχαρῶς 52, 17.
πηγάδιον 42, 21.
πλανάω. πεπλανημένη ὑποψία 18, 2. 24, 8. 29, 1.
πλάνη 18, 22. 19, 19. 42, 6.
πλήν = praeter 62, 24 = sed 33, 19. 58, 5. 65, 16. πλὴν οὐ neque tamen 14, 5.
πληροφορέω persuadeo 6, 20.
πλησιάζω 12, 26. 27. 21, 7. — μετά τινος 28, 4. 39, 26. — εἴς τινα 72, 26.
πλησίος. τῶν πλησίων 52, 4.
πλησμονή 38, 5. 10.

Pluralis verbi pro singulari. τὰ πράγματα ἔχουσι καλῶς 3, 18. cf. 6, 25. 12, 14. saepius. At vulgarem quoque usum sequitur, cf. 39, 23. 24.
ποδαπός 25, 4.
ποιέω. ποιοῦσιν ἑαυτοὺς εἰς μοίρας δύο 38, 17. χρόνον ποιεῖν tempus terere 44, 4.
πολίτευμα 24, 18. 25.
πολυάνθρωπος. πόλις 60, 5.
πολυλογέω 10, 16.
πολυλογία 75, 19. 24. 76, 1.
πολυχρόνιος 55, 26.
*ποντισμός 46, 20.
πόπουλος 20, 2.
πρασίζω 59, 1.
*πριαντεκαλαμίτα. τῆς μαγνήτιδος λίθου ἣν οἱ Λατῖνοι λέγουσι πριαντεκαλαμίτα 9, 6. 10, 14. Corruptum videtur ex voce italica pietra de calamita = lapis magnes.
προγονικός 26, 10. 67, 26.
πρόγονος privignus 45, 19.
προκοπή 17, 16. 25, 2.
προμηθευτικός 30, 16.
προμήτωρ 50, 17.
προσβολή. ἀπὸ πρώτης προσβολῆς 52, 2.
προσοχή attentio 58, 9. 68, 4. 70, 8.
προτέρημα 25, 7. 26, 11. 18. 28, 20.
προτερημένος 5, 16. 26, 5, 15. 27, 6. 43, 1. 7. 21.
προτίμησις 6, 3.
πρωτότοκος 49, 6.
*πυροστία cf. παραστία.
πυρσός. πυρσοὺς ἤγουν φανούς 55, 29.

Relativa. Plerumque ὅς et ὅστις; semel ὁ ὁποῖος 46, 29. — Attractio rel. πᾶσιν ὅσοις ἔχουσιν 6, 21. τῶν ἄλλων

